likewise put-off also whenever to-you of-army reinforcement
ἐπέρχεται εἰς βοήθειάν σου· πλὴν ἔσο ἀπὸ τοῦ τόπου
comes for help your but be from the place
ἐξησφαλισμένος, εἰ δύνασαι. ὅτε δὲ παραβιβάζεις φύλαττε
secured if you-can when and you-put-off guard
καὶ νυκτὸς καὶ ἡμέρας, ὅση σοι δύναμις, ἵνα μὴ
both by-night and by-day as-much-as to-you strength that not
ἐπιπεσόντες σοι ἐξαίφνης οἱ ἐναντίοι διαφθείρωσί σε. εἰ
having-fallen-on you suddenly the opponents destroy you if
δὲ οὐκ ἔχεις ἀφθονίαν πάντων οὐδὲ προσδοκεῖς λαὸν
and not you-have abundance of-all nor expect army
σῶν ἐπιβουλὴν, ἀλλὰ καὶ τοῖς ἀνθρώποις καὶ τοῖς ζῴοις
your reinforcement but even for-the men and for-the animals
σου ἐν σπάνει εἰσὶ τὰ ἀναγκαῖα, μὴ ἀναβάλῃ τὸ σύνολον,
your in scarcity are the necessaries not put-off — at-all
ἀλλὰ πλησιάσας αὐτοῖς ἐν χώρᾳ ἐπιτηδείᾳ διανάπαυσον
but having-approached them in place fitting rest
τὸν λαόν σου δύο ἢ τρεῖς ἡμέρας, εἰ ἔχεις ἄδειαν,
the army your two or three days if you-have leave
καὶ τότε ἀπάρας κρότησον πόλεμον. μὴ ἀργήσῃς καὶ
and then having-set-out strike battle not be-idle and
ἐπιλιπόντων σοι τῶν ἀναγκαίων ἀπολέμητος τραπήσεται
having-failed you the necessaries unfought will-be-routed
ὁ λαός σου. βραδύνοντος γὰρ καὶ ἐν σπάνει ὄντος τῶν
the army your delaying for and in scarcity being of-the

ἀναγκαίων δειλιάσουσι καὶ ὑποχωρήσουσιν. ἀλλὰ εἴπω
necessaries they-will-be-cowardly and they-will-withdraw but let-me-tell
δή σοι τι τοιοῦτον συμβάν.
indeed to-you something such having-happened
67 περι τῶν πατζηνάκον ἱστορία.
about the Patzinaks story
ὁ μοναχὸς Βασίλειος καὶ προνοητὴς Βουλγάρων ἀπεστάλη
the monk Basil and pronoetes of-Bulgarians was-sent
παρὰ τοῦ ἀοιδίμου βασιλέως τοῦ Μονομάχου πολεμῆσαι
by the celebrated emperor — Monomachos to-make-war-on
τοὺς Πατζινάκας. ἀπελθὼν οὖν καὶ πλησιάσας αὐτοῖς, ἔχων
the Patzinaks having-gone then and having-approached them having
καὶ τὸν ἀκόλουθον Μιχαὴλ σύνεργον αὐτῷ· στρατὸς δὲ ἦν
also the akolouthos Michael as-fellow-worker to-him army and was
ἀμφοτέρων πολὺς· ἀπελθόντες, ὡς εἴρηται, καὶ πλησιάσαντες
of-both great having-gone as was-said and having-approached
αὐτοῖς, ἐξ ἀπειρίας οὐκ ἠθέλησαν πολεμῆσαι αὐτοὺς
them from inexperience not wished to-make-war-on them
αὐτίκα, ἀλλ' ἐπαρεβίβαζον ἡμέραν ἐξ ἡμέρας. ἐπιλιπούσης
at-once but put-off day from day having-failed
δὲ τῆς τροφῆς τῷ στρατῷ καὶ τοῖς ζῴοις· οἱ ἐναντίοι γὰρ
and the food for-the army and for-the animals the opponents for
ἰόντες ἀπὸ τῆς σπατάλης ἤρχοντο πλησίον τοῦ φοσάτου
going from the luxury came near the army
ἀλαλάζοντες καὶ πάλιν ὑποχωροῦσιν· οἱ δὲ Ῥωμαῖοι τὸ
raising-war-cries and again withdrew the and Romans partly
μὲν ἀπὸ τῆς σπάνεως τῶν ἀναγκαίων ταλαιπωρήσαντες,
indeed from the scarcity of-the necessaries having-suffered
τὸ δὲ καὶ δειλιάσαντες ἐκ τοῦ ὁρᾶν αὐτοὺς καθεκάστην
partly and also having-been-cowardly from the seeing them every-day
καὶ ἐνωτίζεσθαι τοὺς τούτων ἀλαλαγμούς, ἐτράπησαν μόνοι
and hearing the their war-cries were-routed alone

χωρὶς πολέμου. νυκτὸς γὰρ ἐπιβάντες τοῖς ἵπποις ἔφυγον.
without battle by-night for having-mounted the horses fled
ἀλλ᾽ οὐ διέφυγον τὰς χεῖρας τῶν ὑπεναντίων, καὶ γέγονεν
but not escaped the hands of-the opponents and happened
ἐκούσιος καὶ ἐξ ἀπειρίας κατάλυσις τοῦ στρατοῦ. τοῖς
voluntary and from inexperience dissolution of-the army to-the(-ones)
γὰρ κόπῳ καὶ καμάτῳ ταλαιπωροῦσι καὶ ἐνδείᾳ εἰ καὶ
for by-toil and weariness suffering and by-lack if even
πολέμου προσδοκία ἐπίκειται, ἄχθος καὶ θόρυβον ταῖς ψυχαῖς
of-war expectation presses burden and turmoil in-the souls
ἐμποιεῖ καὶ ἀμαχητὶ τὴν τροπὴν ἐργάζεται. φεῦγε, στρατηγὲ,
produces and without-battle the rout works flee general
τὰς ἡδονὰς, ἵνα μὴ περιπέσεις ὡς ὄρνεον εἰς παγίδα.
the pleasures that not you-will-fall as a-bird into snare
περι ἀκρίτου. 68
about borderer
Εἰ δὲ ἀκρίτης εἶ, ἔχεις δὲ τοπάρχην γείτονα, εἰ μὲν
if and borderer you-are you-have and toparch neighbor if indeed
εἰρηνικῶς ἐστὶ μετὰ σοῦ, εἰρήνευε καὶ σὺ μετ᾽ αὐτοῦ·
peaceably he-is with you be-at-peace also you with him
πλὴν μὴ πιστεύσῃς αὐτῷ. ἐνὸν μὴ βλάπτε, τὴν δὲ
but not trust him as-far-as-possible not harm the and
χώραν σου φύλαττε καλῶς. εἰ δὲ μὴ βλαπτόμενος παρ᾽
land your guard well if and not being-harmed by
αὐτοῦ ἐπιχειρήσεις βλάψαι αὐτὸν, πρῶτον μὲν διεγείρεις
him you-will-attempt to-harm him first indeed you-rouse
αὐτόν τε καὶ τοὺς λοιποὺς τοπάρχας κατὰ σοῦ καὶ ποιεῖς
him both and the remaining toparchs against you and you-make
πάντας ἀποστῆναι Ῥωμαίων καὶ δολιεύεσθαι αὐτοὺς,
all to-revolt from-Romans and to-deceive them
ἔπειτα δὲ φοβούμενοι τὴν δολιότητά σου ὑπερασπιοῦσιν
then and fearing the guile your they-will-shield

αὐτοῦ καὶ εἴτε λαθραίως εἴτε φανερῶς ἐπιθέντες σοι
him and either secretly or openly having-attacked you
χειρώσονταί σε. εἰ δ' οὐ δυνηθῶσιν, ἀλλ' οὖν βλάψουσι
they-will-overpower you if and not they-be-able yet then they-will-harm
καὶ σὲ καὶ τὴν χώραν τοῦ βασιλέως μέγιστα. καὶ ἔκτοτε
both you and the land of-the emperor greatly and thenceforth
εἰ καὶ ἀγάπην θέλεις ποιῆσαι, οὐκ ἀληθεύσουσι πρός σε.
if even love you-wish to-make not they-will-be-true toward you
69 περι πλησίων σου τοπάρχου.
about neighbor your toparch
εἰ δὲ ὁ πλησίον σου τοπάρχης ἐπιχειρήσει σε βλάπτειν,
if and the neighbor your toparch will-attempt you to-harm
μὴ θρασυνθῇς κατ' αὐτοῦ, ἀλλ' ὑπουλεύσου αὐτὸν καὶ
not be-bold against him but deceive him and
ὑποκρίθητι εἰρήνην καὶ ἁπλότητα. φύλαττε δὲ τὴν χώραν
feign peace and simplicity guard and the land
σου καὶ ποίησον φίλους, εἰ δύνασαι, ἐκ τῆς χώρας
your and make friends if you-can of the land
αὐτοῦ, ὅπως δι' αὐτῶν μανθάνῃς τὰς βουλὰς αὐτοῦ,
his so-that through them you-learn the counsels his
καὶ ἀπόστελλε αὐτοῖς δῶρα κατιδίαν. ἀπόστελλε δὲ
and send them gifts privately send and
καὶ τῷ τοπάρχῳ δῶρα φανερῶς ὑπουλευόμενος αὐτόν.
also to-the toparch gifts openly deceiving him
καταχαυνώσαντος γάρ σου αὐτὸν διά τε τῶν δώρων
having-made-slack for you him through both the gifts
καὶ τῆς ὑποκριτικῆς ἀγάπης, ἀμεριμνήσει.
and the feigned love he-will-become-careless

περι πανουργεία πρὸς τὸν ἐχθρόν σου. 70
about villainy toward the enemy your
καὶ τότε ἐπισωρεύσας σὺ τὸν λαόν σου λεληθότως καὶ
and then having-gathered you the army your secretly and
μετὰ σπουδῆς, ἔπελθε αὐτῷ τε καὶ τῷ λαῷ αὐτοῦ
with zeal attack him both and the army his
αἰφνίδιον καὶ οὐκ ἀστοχήσεις· ἐξαλείψεις καὶ ἀφανίσεις
suddenly and not you-will-miss you-will-wipe-out and you-will-annihilate
αὐτόν. καὶ σὺ μὲν ἐπαινεθήσῃ παρὰ πάντων ἐχθρῶν τε
him and you indeed you-will-be-praised by all enemies both
καὶ φίλων ὡς μὴ γενόμενος αἴτιος τῆς ἐνάρξεως αὐτοῦ,
and friends as not having-become cause of-the beginning his
τροπωσάμενος δὲ ἄριστα τὸν ἐνάρξαντα, καὶ παρὰ
having-routed and excellently the(-one) having-begun also from
βασιλέως τιμὰς καὶ εὐεργεσίας λήψῃ ὡς στατηγήσας
emperor honors and benefits you-will-receive as having-generaled
καλῶς· ἐκεῖνος δὲ εἰ καὶ δυνηθῇ ἀποδρᾶσαι, ἀπρόσωπος
well that-one and if even he-be-able to-escape faceless
καὶ ἀπαρρησίαστος ἔσειται εἰς τοὺς γειτνιῶντας αὐτῷ
and without-freedom-of-speech will-be among the neighboring him
τοπάρχας καὶ συγγενεῖς, ὡς αἴτιος γενόμενος τοῦ
toparchs and kinsmen as cause having-become of-the
κακοῦ. ἐροῦσι γὰρ αὐτῷ ὡς· ἄξια πέπονθας· μὴ
evil they-will-say for to-him that worthy(-things) you-suffered not
πολεμούμενος γὰρ τί δουλείαν εἶχες βλάπτειν ξένην
being-warred-on for what service had-you to-harm foreign
χώραν καὶ μὴ βλάπτοντάς σε ἐχθραίνειν καὶ διεγείρειν
land and not harming you to-make-enemies and to-rouse
κατὰ σοῦ; καὶ οὐδὲ βοηθήσουσιν αὐτῷ, ἀλλὰ μᾶλλον
against you and not-even they-will-help him but rather
αἰδεσθήσονται καὶ φοβηθήσονται σὲ ὡς ἀληθῆ στρατηγόν.
they-will-respect and they-will-fear you as true general

περι κοῦρσου καὶ κλὴσοῦρος.
about raid and pass

Πλὴν ὁπόταν εἰσέλθῃς καὶ κουρσεύσῃς τὴν χώραν αὐτοῦ,
but whenever you-enter and raid the land his

εἰ μέν εἰσι κλησοῦραι ὅθεν εἰσῆλθες, μὴ ὑποστρέψῃς τὴν
if indeed there-are passes whence you-entered not return the

αὐτὴν ὁδόν. ἐκεῖνοι γὰρ γινώσκοντες τὴν δυσκολίὰν τῶν
same road those for knowing the difficulty of-the

κλησουρῶν προκαταλάβωσιν αὐτὰς καὶ ὑποστρέφοντός σου
passes will-seize-beforehand them and returning you

κλασματίσουσί σε. ὁποῖον ἐποίησεν ὁ Τριβούνιος ὁ Σέρβος
will-cut-to-pieces you such-as did — Tribounios the Serb

τῷ κατεπάνω Δυρραχίου Μιχαὴλ τῷ τοῦ λογοθέτου υἱῷ
to-the katepano of-Dyrrachion Michael the of-the logothete son

εἰς Διοκλείαν καὶ ἀπώλεσε τὸν λαὸν αὐτοῦ ἐπέκεινα τῶν
into Dioclea and he-lost the army his beyond the

τεσσαράκοντα χιλιαδῶν ὄντα. εἰσελθὼν γὰρ ὁ δηλωθεὶς
forty thousands being having-entered for the mentioned

κατεπάνω εἰς Διοκλείαν ἐκούρσευσεν, ὑποστρέψας δὲ εὗρε
katepano into Dioclea raided having-returned and found

κατεχομένας τὰς κλησούρας ὅθεν εἰσῆλθε, καὶ ἑάλω. καὶ
held the passes whence he-entered and was-caught and

εἰ τάχα εἶχεν ἄλλην ὁδὸν εἰς τὸ ἐξελθεῖν ἀσκύλτως, ἀλλ'
if perhaps he-had other road for the going-out unharmed yet

ἀπὸ κακοβουλίας, μᾶλλον δὲ ἀπειρίας ἑάλω.
from ill-counsel rather and inexperience he-was-caught

Spies scout the roads before a raid, and a borderer trusts no neighboring toparch. Strongholds fall to guile: the author's grandfather took an Armenian fortress with soldiers hidden in a grain convoy; Voislav of Dioclea seized Katakalon at a christening; Servia fell when its commanders were caught bathing.

περι κατασκόπους. 72

about spies

σὺ δὲ ἔχε κατασκόπους καὶ τοποδέτας ἐντρεχεῖς, καὶ

you and have spies and guides nimble and

πρὸ τοῦ εἰσελθεῖν σε κατασκοπευσάτωσαν τὰς ὁδοὺς· καὶ

before the to-enter you let-them-spy-out the roads and

ἀφ' οὗ εἰσέλθῃς καὶ κουρσεύσεις, ἔξελθε δι' ἄλλης

from when you-enter and you-will-raid go-out through other

ὁδοῦ καὶ ἕξεις τὸ ἀφρόντιστον. εἰ δὲ καὶ οὐκ ἔστιν

road and you-will-have the freedom-from-care if and also not there-is

ἄλλη ὁδὸς, εἴσελθε ἐξαίφνης ἀμήνυτος καὶ κουρσεύσας

other road enter suddenly unannounced and having-raided

ὑπόστρεψον τάχιον ὅθεν εἰσῆλθες. εἰ δ' οὖν, ὁπόταν

return quickly whence you-entered if and then whenever

εἰσέλθῃς κουρσεῦσαι, ἔασον λαὸν ἵνα κρατήσωσι τὰς

you-enter to-raid leave army that they-hold the

κλησούρας καὶ τὰς κορυφὰς τῶν ὀρέων, καὶ ἄνδρας

passes and the peaks of-the mountains and men

γενναίους καὶ ἐντρεχεῖς τοὺς ἐξάρχοντας αὐτῶν, καὶ

noble and nimble the(-ones) leading them and

κουρσεύσας ὑποστρέψεις μετὰ τῆς τοῦ Θεοῦ βοηθείας

having-raided you-will-return with the — of-God help

ἔχων τὸ ἀφρόντιστον, χαίρων καὶ εὐφραινόμενος.

having the freedom-from-care rejoicing and being-glad

φύλαττε, ἀκρίτα, τὰ κάστρα καὶ τὴν ἐμπιστευθεῖσαν
guard borderer the fortresses and the entrusted
χώραν, καὶ τοῖς πλησίον σου τοπάρχαις μὴ ἐμπιστεύῃς,
land and the neighboring your toparchs not trust
εἰ καὶ πάνυ ὁμολογοῦσιν εἶναι φίλοι σου.
if even very they-confess to-be friends your
73 περι κάστρου κεφαλῆς τοῦ τιβινίου.
about fortress head — of-Tibion
εἴπω σοί τι τοιοῦτον συμβάν. κάστρον ἐστὶν εἰς
let-me-tell you something such having-happened fortress there-is in
τὰ μέρη τῆς Μεγάλης Ἀρμενίας· ἔστι δὲ εἰς ὑψηλὸν τόπον,
the parts — of-Great Armenia it-is and in high place
ἔχον ἐπάνω πεδίον ἱκανὸν, ἀρκοῦν καὶ περισσεῦον τοῖς
having above plain sufficient enough and abundant for-the(-ones)
οἰκοῦσιν· εἰς τὸ κάστρον εἰς τὴν σπόριμον γῆν καὶ εἰς τὴν
dwelling in the fortress for the sowable land and for the
νομὴν τῶν κτηνῶν αὐτῶν καὶ εἰς πᾶσαν αὐτῶν χρείαν,
pasture of-the beasts their and for every their need
πάντοθεν κρημνοῖς καὶ φάραγξι βαθείαις κατησφαλισμένον,
on-all-sides with-cliffs and ravines deep secured
μὴ δεχόμενόν ποθεν παρά τινος πολεμηθῆναι. οὐδὲ
not admitting from-anywhere by anyone to-be-attacked not-even
γάρ ἐστί τινι δυνατὸν ἀνελθεῖν ἐκεῖσε εἰ μὴ διὰ στενῆς
for it-is to-anyone possible to-go-up there if not through narrow
ὁδοῦ μιᾶς, καὶ τότε εἰσελθεῖν πρῶτον διὰ τῆς πύλης τοῦ
road one and then to-enter first through the gate of-the
κάστρου, καὶ τοῦτο μετὰ δυσκολίας πολλῆς. τούτου οὖν τοῦ
fortress and this with difficulty much than-this then the
ὀχυρώματος οὐδὲν ἦν ἀσφαλέστερον. ἐπεθύμει δὲ ὁ τοῦ
stronghold nothing was safer desired and the —
Τιβίου τοπάρχης καὶ πάππος μου ἐγκρατὴς αὐτοῦ γενέσθαι.
of-Tibion toparch and grandfather my master of-it to-become

τί οὖν σοφίζεται; ποιεῖ φίλον διὰ δώρων πολλῶν τὸν
what then he-contrives makes friend through gifts many the
στρατηγὸν τοῦ τοιούτου κάστρου, δηλώσας αὐτῷ ἵνα
general of-the such fortress having-declared to-him that
οὗ ἂν χρήζῃ θαρρῶν ἀποστέλλῃ καὶ λαμβάνῃ ἀπ᾽
of-whatever — he-need confidently he-send and take from
αὐτοῦ. τούτοις οὖν καταθελχθεὶς ὁ στρατηγὸς ἔτυχε ἐν
him by-these then charmed the general happened in
χρείᾳ γενέσθαι σίτου, εἶτα δηλοῖ αὐτῷ. ὁ δὲ μετὰ χαρᾶς
need to-be of-grain then declares(-it) to-him he and with joy
εἶπεν· ὅσον κελεύεις. ἀποστέλλει αὐτῷ ζῷα χίλια
said as-much-as you-bid sends to-him animals a-thousand
φέροντα σῖτον, καὶ τοῖς δυσὶν ὄνοις ἠκολούθει ἄνθρωπος
carrying grain and the two asses followed a-man
ὡς δῆθεν ἐπιμελούμενος αὐτῶν. ἦν συλλογισάμενος γὰρ
as forsooth taking-care of-them he-had having-reckoned for
ὁ στρατηγὸς ὅτι· παρ᾽ αὐτοῦ τοῦ ἐχθροῦ τῆς Ῥωμανίας
the general that from very the enemy — of-Romania
ἐὰν σιταρχισθῇ τὸ κάστρον μου, τίνος ἄξιός εἰμι; εἶτα
if is-provisioned the fortress my of-what worthy I-am then
καταλαβόντος τοῦ σίτου ἀνοίγει μετὰ χαρᾶς τὰς πύλας τοῦ
having-arrived the grain opens with joy the gates of-the
εἰσελθεῖν καὶ τὰ ζῷα καὶ τοὺς ἐπακολουθοῦντας αὐτοῖς. οἱ
entering both the animals and the(-men) following them they
δὲ ὡπλισμένοι ὄντες πρὸς μάχην καὶ κεκρυμμένας ἔχοντες
and armed being for battle and hidden having
τὰς ῥομφαίας αὐτῶν ὁπηνίκα εἰσῆλθον, ἐσπάσαντο τὰς
the swords their when they-entered seized the
πύλας τοῦ κάστρου. καὶ κτείνουσι μὲν τοὺς κονταράτους,
gates of-the fortress and kill indeed the spearmen
γίνονται δὲ ἐγκρατεῖς τοῦ κάστρου. καὶ γίνεται ἡ φιλία
become and masters of-the fortress and becomes the friendship

συμφορᾶς πρόξενος καὶ μνήμης ἀξία. χρὴ οὖν σε
of-misfortune cause and of-memory worthy it-is-needful then you
φυλάττεσθαι ἀπὸ τῶν φίλων μᾶλλον ἢ τῶν ἐχθρῶν. εἰ γὰρ
to-guard-yourself from the friends more than the enemies if for
οὐκ ἐπίστευσεν ὁ στρατηγὸς τοῖς νομιζομένοις αὐτοῦ φίλοις,
not had-trusted the general the supposed his friends
ἀλλ' ἔξω τῆς πύλης προσέταξεν ἀποφορτῶσαι τὸν σῖτον,
but outside of-the gate had-ordered to-unload the grain
ἐκέρδανεν ἂν αὐτὸν καὶ εἰς κενὸν ἡ πανουργία αὐτῶν
would-have-gained — it and in vain the villainy their
κατέλυεν καὶ ὁ στρατηγὸς εἶχεν τὸ ἀφρόντιστον.
would-have-ended and the general would-have-had the freedom-from-care
74 ἄλλο τιοῦτον· περὶ τοῦ μὴ ἐνοθῆν τοπάρχη γίτον σου
another such about the not to-be-united-with toparch neighbor your
διὰφιλίας.
through-friendship

Εἶπω δέ σοι καὶ ἕτερον σόφισμα ἐθνικοῦ. ὁ Κατακαλὼν
let-me-tell and to-you also another trick of-a-foreigner — Katakalon
ὁ Κλυζομενίτης στρατηγὸς ἦν Ῥαουσίου. ἤθελε δὲ στῆσαι
the Klyzomenites general was of-Ragusa wished and to-set-up
τρόπαιον ὁ στρατηγὸς διὰ φιλίας πλαστῆς. ἦν δὲ
trophy the general through friendship feigned was and
εἰς τὰ κάστρα Δαλματίας εἰς τὴν Ζένταν καὶ εἰς τὴν
in the fortresses of-Dalmatia in — Zenta and in —
Στάμνον τοπάρχης Βοϊσθλάβος ὁ Διοκλητιανός. ἠβούλετο
Stamnos toparch Voislav the Dioclean he-wished
δὲ κρατῆσαι αὐτόν. καὶ τί ποιεῖ; συμφιλιάζεται αὐτῷ
and to-seize him and what does-he he-befriends him
ἀποστέλλων πρὸς αὐτὸν δῶρα πυκνότερον, ἀπατῆσαι αὐτὸν
sending to him gifts more-frequently to-deceive him
ἐν τούτοις βουλόμενος. ὁ δὲ εἰ καὶ ἐθνικὸς ἦν, ἀλλὰ τὴν
in these wishing he and if even foreigner he-was yet the

φυσικὴν καὶ τὴν ἀπὸ πείρας σοφίαν εἶχε, καὶ τὰ μὲν δῶρα
natural and the from experience wisdom had and the indeed gifts
ἐλάμβανεν, ὑπεκρίνατο δὲ καὶ δοῦλος εἶναι τοῦ βασιλέως
he-took feigned and also servant to-be of-the emperor
ὡς δῆθεν διὰ τῆς καλοκαγαθίας καὶ τῶν χαρισμάτων τοῦ
as forsooth through the nobility and the favors of-the
στρατηγοῦ. ἔχοντος δὲ καὶ τοῦ τοπάρχου παῖδα ἀρτιγενῆ,
general having and also the toparch child new-born
ἐμήνυεν ὁ στρατηγὸς δέξασθαι τοῦτον ἀπὸ τοῦ ἁγίου
informed the general to-receive him from the holy
βαπτίσματος. τοῦ δὲ μετὰ χαρᾶς εἰπόντος καὶ εἰ κελεύεις
baptism he and with joy having-said even if you-bid
καὶ ἔλθῃς εἰς τὴν οἰκίαν μου, ὁ στρατηγὸς οὐκ ἠθέλησεν.
also you-come to the house my the general not wished
ἐτύπωσαν οὖν ἀμφότεροι ἵνα ἐν μέσῳ τοῦ θέματος τοῦ
agreed then both that in middle of-the theme of-the
στρατηγοῦ καὶ τῆς χώρας τοῦ τοπάρχου ποιήσουσι τὴν
general and of-the land of-the toparch they-will-make the
συντεκνίαν. εἶχε δὲ δρόμωνας παρασκευασμένους εἰς τὴν
co-godparenthood had and dromons prepared in the
θάλασσαν ὁ στρατηγὸς (παρὰ θάλασσαν γὰρ ἦν ὁ
sea the general by sea for was the
τόπος), ἵνα ὁπόταν νεύσῃ κρατήσαντες ῥίψωσιν αὐτὸν
place that whenever he-nod having-seized they-throw him
εἰς τὸν δρόμωνα. τὴν αὐτὴν δὲ βουλὴν εἶχε καὶ ὁ
into the dromon the same and counsel had also the
τόπαρχος, καὶ εἶχεν ἄνδρας γενναίους παρασκευασμένους
toparch and had men noble prepared
ἐν τῷ κρυπτῷ, ἵνα ὁπόταν ποιήσῃ σημεῖον ὅπερ αὐτοῖς
in the hidden(-place) that whenever he-makes sign which for-them
διετάξατο, ἐκπηδήσαντες κρατήσωσι τὸν στρατηγὸν καὶ
he-appointed having-leapt-out they-seize the general and

τοὺς σὺν αὐτῷ· ὃ καὶ γέγονεν. εἶτα ἡνώθησαν καὶ
the(-ones) with him which also happened then they-met and
ἀσπασάμενοι ἐκαθέσθησαν. ἅμα οὖν τῷ καθεσθῆναι
having-embraced sat-down at-once then with-the sitting-down
αὐτοὺς σημείου γενομένου ἐκύκλωσαν τὸν στρατηγὸν καὶ
them sign having-been-made they-encircled the general and
δήσαντες αὐτοῦ χεῖρας καὶ πόδας ἄγουσιν αὐτὸν δέσμιον
having-bound his hands and feet lead him bound
μετὰ καὶ τοῦ υἱοῦ αὐτοῦ καὶ τῶν σὺν αὐτῷ πάντων
with also the son his and the(-ones) with him all
καὶ τοὺς δρόμωνας εἰς τὴν Στάμνον. καὶ οἷς βρόχοις
and the dromons to — Stamnos and in-which nooses
καὶ δικτύοις ἠβούλετο ζωγρῆσαι ἐζωγρήθη, εἰς ὀνειδισμὸν
and nets he-wished to-take-alive he-was-taken-alive for reproach
Ῥωμαίων. καὶ πρόσεχε ἵνα μὴ ἃ σοφίζῃ γένωνται
of-Romans and take-heed that not what(-things) you-contrive become
τρόπαια ἑτέρων· ἡ γὰρ ἑτέρων πονηρία ἑτέρων γίνεται
trophies of-others the for of-others wickedness of-others becomes
δόξα καὶ κέρδος. δεῖ οὖν σε λογισμένα πράττειν. ἐγὼ
glory and gain must then you reasoned(-things) to-do I
γὰρ οὐκ ἀρχαῖά σοι παρήγαγον, ἀλλὰ ὅσα πρὸ
for not ancient(-things) to-you brought-forward but as-many-as before
μικροῦ τῶν ἡμερῶν ἡμῶν συνέβησαν. οἱ πλείονες γὰρ
little of-the days our happened the more for
στρατηγοὶ ἀπὸ τῶν νομιζομένων φίλων ἔπαθον.
generals from the supposed friends suffered
ἄλλο περι κάστρου πανουργείαν.
another about fortress villainy
Δημητριὰς πόλις ἐστὶ τῆς Ἑλλάδος παρὰ θάλασσαν,
Demetrias city is — of-Hellas by sea
ἀπό τε τῆς θαλάσσης καὶ τῶν κύκλωθεν βαλτῶν
from both the sea and the round-about marshes

ἐξησφαλισμένη. ἧς ἐγκρατὴς γέγονεν [οὕτως] ὁ
secured of-which master became thus —
Δελιάνος· τοπάρχης δὲ ἦν οὗτος Βουλγάρων. ἐγκρατὴς δὲ
Delianos toparch and was he of-Bulgarians master and
αὐτῆς γεγονὼς ἀπέστειλεν ἐν αὐτῇ στρατιώτην ἀρχαῖον
of-it having-become he-sent in it soldier old
καὶ ἔμπειρον εἰς τὰ πολέμια (ὁ δὲ στρατηγὸς τῇ
and experienced in the(-things) of-war the and general in-the
τῶν Βουλγάρων διαλέκτῳ τζελνίκος λέγεται) Λυτοβόην
of-the Bulgarians tongue tzelnikos is-called Litovoj
τὸν Διαβολήτην, δοὺς αὐτῷ καὶ λαὸν εἰς φυλακὴν τοῦ
the Diabolites having-given to-him also army for guard of-the
κάστρου. ὃς ἀπελθὼν ἀνοικοδόμησε τὰ τείχη ἠμελημένα
fortress who having-gone rebuilt the walls neglected
ὄντα καὶ ἐποίησε μαγγανικὰ καὶ μηχανὰς ὅσας
being and made engines and devices as-many-as
ἐνδέχεται ποιῆσαι στρατηγόν. ὀχυρώσας δὲ τὸ κάστρον
is-possible to-make a-general having-fortified and the fortress
ἀπεμερίμνησεν, μὴ φοβούμενος ἔξωθεν προσβολὴν μήτε
became-careless not fearing from-outside attack nor
ἔνδοθεν ὑφορώμενος ἐπιβουλὴν διὰ τὸ τοὺς ἐντοπίους
from-inside suspecting plotting because-of the the locals
εἶναι ἁπλουστάτους καὶ παντελῶς ἀπείρους καὶ διὰ τὸ
to-be most-simple and wholly inexperienced and because-of the
καὶ ὅρκῳ αὐτοὺς ἐξασφαλίσασθαι. εἴωθεν γὰρ ἡ ἀμεριμνία
also by-oath them to-have-secured is-wont for the carelessness
προσφέρειν λύπας καὶ κινδύνους ἐξαπίνης. ἐπὶ τούτοις οὖν
to-bring griefs and dangers suddenly on these then
ἀμεριμνήσας ὁ στρατηγὸς καὶ μὴ ἔχων ὑπόνοιαν εἰς
having-become-careless the general and not having suspicion toward
τοὺς ἔνδον, προσεῖχε τῇ τρυφῇ καὶ τῇ ἀνέσει. οἱ δὲ
the(-ones) inside gave-himself to-the luxury and the ease the and

ἐντόπιοι εἰ καὶ ἄπειροι ἦσαν, ἀλλ᾽ ἡ φύσις διδάσκαλός
locals if even inexperienced they-were yet the nature teacher
ἐστι πάσης μηχανῆς καὶ πανουργίας· ἀποστέλλουσι λάθρα
is of-every device and villainy they-send secretly
πρὸς τὸν δοῦκα Θεσσαλονίκης ὅπως ἀποστέλλῃ τινὰ τοῦ
to the duke of-Thessalonica that he-send someone of-the
παραλαβεῖν τὸ κάστρον καὶ τιμῆσαι αὐτούς. ὁ δὲ δοὺξ
to-take-over the fortress and to-honor them the and duke
ἀποστέλλει τινὰ πανθεώτην Ζεπὲ καλούμενον μετὰ πλοίων
sends one Pantheotes Zepe called with ships
καὶ λαοῦ. καταχθέντων οὖν τῶν πλοίων πλησίον
and army having-been-brought-down then the ships near
τοῦ λιμένος ἐν ἀποκρύφῳ τόπῳ, μηνύεται τοῦτο τοῖς
the harbor in hidden place it-is-announced this to-the
ἐντοπίοις λάθρα· καὶ δὴ ἀπελθόντες αὐτίκα ἐκράτησαν
locals secretly and indeed having-gone at-once they-seized
τὸν στρατηγὸν καὶ δεσμήσαντες αὐτόν τε καὶ τοὺς σὺν
the general and having-bound him both and the with
αὐτῷ φύλακας παρέδωκαν τοῖς Ῥωμαίοις.
him guards handed-over to-the Romans
76 περι καστροφύλακος τοῦ μὴ ἐξελθεῖν.
about fortress-guard the not to-go-out
Σέρβεια πόλις ἐστὶν ὀχυρὰ ἐν Βουλγαρίᾳ. ἐφύλαττε δὲ
Servia city is strong in Bulgaria guarded and
αὐτὴν στρατηγὸς ῥωμαῖος ὀνόματι Μαγηρῖνος καὶ ταξιάρχαι
it general Roman by-name Magerinos and taxiarchs
δύο μετὰ τῶν χιλιαδῶν αὐτῶν. ὁ δὲ πρὸς μητρὸς
two with the thousands their the and on mother's(-side)
πάππος μου Δημήτριος ὁ Πολεμάρχιος οὕτω καλούμενος
grandfather my Demetrios the Polemarchios so called
ἦν ὑπερέχουσα κεφαλὴ εἰς τὸ μέρος ἐκεῖνο εἰς τὴν ἄκραν·
was eminent head in the part that in the frontier

ὃν μετὰ τὸ εἰρηνεῦσαι τὴν Βουλγαρίαν ἀνεβίβασεν ὁ
whom after the to-pacify — Bulgaria raised the
μακαρίτης κύριος Βασίλειος ὁ πορφυρογέννητος εἰς τὸ τῶν
blessed lord Basil the born-in-the-purple to the of-the
πατρικίων ἀξίωμα, πεποιηκὼς αὐτὸν καὶ μυστικόν. πολλὰ
patricians dignity having-made him also mystikos much
οὖν οὗτος κοπιάσας καὶ ἀγρυπνήσας ἐνιαυτὸν ὅλον εἰς τὸ
then he having-toiled and having-kept-awake year whole for the
ἐλεῖν αὐτὴν ἀπολέμητον οὖσαν κρατῆσαι οὐκ ἴσχυσεν. ὅθεν
to-take it unconquerable being to-seize not was-able whence
καὶ εἰς κενὸν αὐτῷ γέγονεν ὁ τοσοῦτος κόπος. κρημνοῖς τε
also in vain for-him became the so-great toil with-cliffs both
γὰρ καὶ φάραγξι φοβερωτάταις τὴν ἀσφάλειαν ἐκέκτητο.
for and ravines most-fearful the security it-had
ἦν δὲ λοετρὸν κάτωθεν τοῦ κάστρου εἰς τὸν κρημνὸν,
there-was and a-bath below the fortress toward the cliff
ἔνθα καὶ ἀπήρχετο ὁ στρατηγὸς καὶ οἱ ταξιάρχαι ὅτε
where also went the general and the taxiarchs when
ἠβούλοντο καὶ ἐλούοντο. μηχανᾶται οὖν μηχανὴν τοιαύτην·
they-wished and bathed contrives then device such
ἐλθὼν νυκτὸς καὶ ἔστη ἄντικρυς τοῦ κάστρου μετὰ τοῦ
having-come by-night and stood opposite the fortress with the
λαοῦ αὐτοῦ (ὁ δὲ τόπος ἐστὶν ὑλώδης ἔχων θάμνους)
army his the and place is wooded having bushes
καὶ προσέταξε τοῖς σὺν αὐτῷ πᾶσι βαστάζειν θάμνους
and he-ordered the(-ones) with him all to-carry bushes
μεγάλους, κρατεῖν δὲ αὐτὰς ἔμπροσθεν αὐτῶν καὶ σκιάζειν
great to-hold and them in-front-of them and to-shade
καὶ ἀποκρύβειν τοὺς ἵππους καὶ τοὺς ἀναβάτας αὐτῶν,
and to-hide the horses and the riders their
ὥστε φαίνεσθαι οὐκ ἀνθρώπους, ἀλλὰ τοπικήν τινα ὕλην.
so-as to-appear not men but local some wood

εἶχε δὲ χονσαρίους δύο πλησίον τοῦ κάστρου εἰς τὴν
he-had and chonsarioi two near the fortress on the
ἀκρώρειαν, οἳ ἅμα τῷ κατελθεῖν τὸν στρατηγὸν καὶ
ridge who at-once with-the to-come-down the general and
τοὺς ταξιάρχας καὶ ἄρξασθαι τοῦ λούεσθαι ἐποίησαν
the taxiarchs and to-begin the bathing made
τὸ σημεῖον ὃ προσετάγησαν. οἱ δὲ καταπτερνίσαντες
the sign which they-were-ordered they and having-spurred
ἐκύκλωσαν τὸ λοετρόν, κρατήσαντες τοὺς ἐν αὐτῷ.
encircled the bath having-seized the(-ones) in it
77 περι τοῦ ἔχην πάσαν προσοχῆν.
about the to-have all heed
ὁ γὰρ μὴ προσέχων, ἀλλὰ ἀφυλάκτως πορευόμενος
the(-one) for not heeding but unguardedly going
πολλάκις καὶ συμφοραῖς περιπίπτει. κρατηθέντων οὖν αὐτῶν
often also into-misfortunes falls having-been-seized then them
ἀναιμωτὶ τὸ κάστρον παρέλαβεν. πρόσεχε οὖν τούτοις·
bloodlessly the fortress he-took-over take-heed then to-these(-things)
καὶ ἐὰν φυλάττῃς κάστρον, ἔχε ἀκρίβειάν πολλὴν καὶ εἰς
and if you-guard fortress have exactness much both toward
τοὺς ἔξω καὶ εἰς τοὺς ἔσω, καὶ μηδὲ ἀνθρώπῳ
the(-ones) outside and toward the(-ones) inside and not-even to-man
σου πιστεύῃς καὶ ἀπολέσεις καὶ ἑαυτὸν καὶ τὸν λαόν.
your trust and you-will-destroy both yourself and the army
78 περι τοῦ προσέχειν τοῦ κάστρου τὰ τύχη· καὶ περι τοῦ
about the to-heed of-the fortress the walls and about the
μὴ ἔχην οἰκίαν συνκεκολυμένην τοῦ τύχου.
not to-have house stuck-to the wall
Βλέπε δὲ καὶ καθεκάστην τὰ τείχη καὶ ἔνδον καὶ ἔξω,
look and also every-day the walls both inside and outside
ὡσαύτως καὶ τὰς πόρτας. τὰ δὲ τείχη τοῦ κάστρου
likewise also the gates the and walls of-the fortress

ἔστωσαν ἐλεύθερα· μὴ ἔστω οἰκία σύγκολλα αὐτοῖς, ἀλλὰ
let-be free not let-be house stuck-on them but
καὶ εἰ ἔστι, κατάστρεψον αὐτήν, καὶ ἐκγύμνωσον τὰ τείχη
and if there-is overturn it and strip-bare the walls
καὶ ἔνδον καὶ ἔξω, ὡσαύτως καὶ τὰς πόρτας πάσας
both inside and outside likewise also the gates all
παντελῶς, ἵνα ἔχῃς ἄδειαν διέρχεσθαι καὶ βλέπειν αὐτά. εἰ
wholly that you-have leave to-go-through and to-see them if
δὲ ἀρχαῖος οἰκός ἐστι καὶ πολύτιμος σύγκολλα τοῦ τείχους,
and old house it-is and very-valuable stuck-on the wall
μή σε πτοήσῃ ἡ καταστροφὴ αὐτοῦ, ἀλλὰ κατάλυσον
not you let-terrify the overturning its but tear-down
αὐτόν. εἶπω γάρ σοι τοιοῦτόν τι. ἡ Ἱδροῦντα πόλις
it let-me-tell for to-you such something — Hydrunta city
ἐστὶ τῆς Ἰταλίας παρὰ θάλασσαν, πολυάνθρωπος καὶ
is — of-Italy by sea populous and
πλουσία. ἐφύλαττε δὲ αὐτὴν Ἱδρουντιανὸς ὁ Μαλαπέτζης,
rich guarded and it Hydruntianos the Malapetzes
ἔχων εἰς φυλακὴν τοῦ κάστρου Ῥὼς καὶ Βαράγγους
having for guard of-the fortress Rus and Varangians
κονταράτους τε καὶ πλοίμους. εἶχε δὲ ὁ αὐτὸς Μαλαπέτζης
spearmen both and seamen had and the same Malapetzes
ἀνεψιὰν, ἥτις εἶχε σύγκολλα τοῦ τείχους οἶκον. ὁ δὲ θεῖος
niece who had stuck-on the wall house the and uncle
αὐτῆς τὸ μὲν ὡς ἀρχαίου, τὸ δὲ ὡς πολυτίμου, πῇ δὲ
her partly indeed as old partly and as very-valuable partly and
καὶ ὡς τῆς ἀνεψιᾶς αὐτοῦ ὄντος ἐφείσατο αὐτοῦ καὶ οὐ
also as of-the niece his being spared it and not
κατέλυσεν αὐτὸν, μὴ ἔχων ὑπόνοιαν ἐξ αὐτοῦ τὴν οἱανοῦν.
tore-down it not having suspicion from it the any-kind
οἱ δὲ Φράγγοι πολλὰ κοπιάσαντες εἰς τὸ παραλαβεῖν
the and Franks much having-toiled for the to-take-over

ἀπὸ πολέμου τὴν Ἱδροῦντα οὐκ ἠδυνήθησαν. τί οὖν
from battle — Hydrunta not were-able what then
σοφίζεται ὁ κόμης αὐτῶν; μηνύει τῇ ῥηθείσῃ ἀνεψιᾷ τοῦ
contrives the count their sends-word to-the said niece —
Μαλαπέτζη ὅτι· εἰ ποιήσεις με εἰσελθεῖν διὰ τοῦ τείχους
of-Malapetzes that if you-will-make me to-enter through the wall
εἰς τὸ κάστρον, ἵνα σε λάβω γυναῖκα· καὶ ὀμνύει αὐτῇ,
into the fortress that you I-take wife and swears to-her
δοὺς αὐτῇ καὶ δῶρα πολλά. ἡ δὲ ὑπὸ τῆς ἐπιθυμίας
having-given her also gifts many she and by the desire
ὑποσυρεῖσα κατένευσε καὶ ἐποίησε, καὶ διὰ νυκτὸς διὰ τοῦ
drawn-down consented and did and by night through the
τείχους ἀνεβίβασε μετὰ σχοινίου τινὰς τῶν Φράγγων τοὺς
wall raised-up with rope some of-the Franks the
λογιωτάτους καὶ κριτοτέρους, οἵτινες διὰ τῆς ἐπιούσης
most-reasonable and more-select who during the following
νυκτὸς τρυπήσαντες τὸ τεῖχος τοῦ κάστρου εἰσήγαγον
night having-pierced the wall of-the fortress brought-in
Φράγγους λαὸν πολὺν καὶ πρὸ τοῦ διαφαῦσαι ἀλαλάξαντες
Franks army much and before the dawning raising-war-cries
ἐπῆλθον τοῖς ἐν τῇ πόλει. οἱ δὲ ἀπροσδοκήτως τοὺς
attacked the(-ones) in the city they and unexpectedly the
ἐχθροὺς ἔνδον τοῦ κάστρου ἰδόντες ὥρμησαν εἰς φυγήν. τὸ
enemies inside the fortress having-seen rushed into flight the
γὰρ κακὸν αἰφνιδίως ἐπελθὸν καὶ τοὺς πάνυ ἀλκιμωτάτους
for evil suddenly having-come even the very most-valiant
καὶ λογικωτάτους ἀπόλλυσιν. αὐτίκα γοῦν ὁ τοῦ
and most-reasonable destroys at-once at-any-rate the(-one) of-the
κάστρου τὴν πρόνοιαν ποιούμενος Μαλαπέτζης φεύγων
fortress the provision making Malapetzes fleeing
εἰσῆλθε μόνος εἰς πλοῖον καὶ σέσωσται σωτηρίαν ἐπίψογον
entered alone into a-ship and was-saved salvation blameworthy

καὶ μεταλύπης πρόξενον, τὴν δὲ γυναῖκα καὶ τὰ τέκνα
and of-regret cause the and wife and the children
κατέλιπε εἰς τὰς χεῖρας τῶν ἐχθρῶν. πρόσεχε οὖν τί
he-left in the hands of-the enemies take-heed then what
αὐτῷ συνέβη ἐκ τοῦ μὴ ἔχειν ἀκρίβειαν.
to-him happened from the not to-have exactness
τερον πρὸς τὸ ἠτιμασθῆν σε εἰς πολεμον. 79
other for the to-be-prepared you in war
Ἐὰν φυλάττῃς κάστρον καὶ ἀκούσῃς ἔρχεσθαι πρός
if you-guard fortress and hear to-be-coming to
σε τὸν ἐχθρόν, εὐτρέπισον σεαυτὸν πρὸς τὸ δέξασθαι
you the enemy prepare yourself for the to-receive
πόλεμον· οἰκονόμησον τὰ τείχη τὰ διερρωγότα, τοὺς
battle manage the walls the(-ones) broken the
πύργους τοὺς προμαχῶνας κατοχύρωσον, σώρευσον λίθους
towers the battlements fortify heap-up stones
ἐπάνωθεν τῶν τειχέων, πλέξον λέσας, ποίησον χάντακας
above the walls weave hurdles make ditches
διπλοῦς καὶ τριπλοῦς καὶ βαθυτάτους καὶ πλατεῖς, καὶ
double and triple and deepest and broad and
ἔξω τῶν χαντάκων λάκκους εἰς τὸ ὀλισθαίνειν τοὺς
outside the ditches pits for the slipping the
ἵππους, ἐπίστησον μαγγανικὰ τοῖς τείχεσι καὶ τζάγρας,
horses set engines on-the walls and crossbows
ποίησον ἅρπαγας οὓς λύκους καλοῦσιν, εἰς ἄμυναν τῶν
make grapples which wolves they-call for defense of-the
κριῶν. καὶ εἰ προσβάλλουσί σοι μετὰ κριοῦ, δράξον
rams and if they-attack you with ram grasp
αὐτὸν μετὰ τῶν ἁρπάγων. ἔχων ἑτοίμους βόας ἔνδον καὶ
it with the grapples having ready oxen inside and
ἐπιδήσας αὐτοῖς τὸν λύκον σύρειν αὐτοὺς ἀνάγκασον· εἰ
having-bound to-them the wolf to-drag them compel if

δ᾽ οὐκ ἔστιν ἐπιτήδειον σύρειν, ἐπίδησον αὐτὸν εἰς ὀχυρὸν
and not it-is fitting to-drag bind it to strong
τόπον, ὥστε μὴ δύνασθαι ὀπισθοποδῆσαι. εἰ δὲ θελήσει
place so-as not to-be-able to-move-back if and he-will-wish
παρασκάψαι τὰ θεμέλια, σκάψον σὺ μᾶλλον ἔμπροσθεν καὶ
to-dig-under the foundations dig you rather in-front and
σύγκολλα τῷ τείχει εἰς βάθη ὅθεν νοεῖς ὅτι μέλλει ὁ
stuck-to the wall to depths whence you-perceive that is-about the
ἐχθρὸς ὑποδῦναι τοῖς θεμελίοις, καὶ ἔχε ἄνδρας γενναίους
enemy to-get-under the foundations and have men noble
ηὐτρεπισμένους καὶ πρὸς μάχην ἑτοίμους, ἵνα ὁπόταν ὑπὸ
prepared and for battle ready that whenever under
γῆν ἐρχόμενος· ὑποδύνῃ τοῖς θεμελίοις, ἀνακύψῃ καὶ μὴ
earth coming he-gets-under the foundations he-come-up even not
βουλόμενος ἐν ᾧ τόπῳ σὺ ἔσκαψας· ἀνακύψας δὲ καὶ
wishing in which place you dug having-come-up and also
ἀπὸ τοῦ ὀρύγματος ἀγανακτήσας κρατηθήσεται ὑπὸ τῶν
from the trench vexed he-will-be-seized by the
σῶν. καὶ αὐτῷ σφαλερὸν τὸ μηχάνημα, σὺ δὲ ἕξεις
yours and for-him perilous the device you and you-will-have
τὸ ἀσφαλές. εἰ γὰρ ποιήσεις τοῦτο, ἕξεις ἄδειαν καὶ
the safety if for you-will-do this you-will-have leave also
ἀπὸ τῶν προμαχώνων ῥίπτειν μεγίστους λίθους ἐπὶ τῷ
from the battlements to-throw greatest stones on the
σῷ ὀρύγματι, ἔνθα ἐκεῖνος ἀνακύψει, καὶ φονεύσεις αὐτόν.
your trench where that-one will-come-up and you-will-kill him
εἰ δὲ ποιήσει χωματισμόν, ἔχε ὕλην ἡτοιμασμένην καὶ
if and he-will-make earthwork have wood prepared and
κτίσον ἔνδον πρὸς τὸ πάχος τοῦ τείχους καὶ ἕτερον
build inside toward the thickness of-the wall also another
τεῖχος, καὶ ποίησον αὐτὸ συγκεκολλημένον τῷ τείχει τοῦ
wall and make it stuck-to the wall of-the

κάστρου, κείμενον ἄντικρυς τοῦ χωματισμοῦ, καὶ ἰσάσας
fortress lying opposite the earthwork and having-leveled
αὐτὸ μετὰ τοῦ περιπάτου καὶ ἐνώσας αὐτό, ὡς εἴρηται,
it with the walkway and having-united it as was-said
μετὰ τοῦ παλαιοῦ τείχους, ποίησον ἀμφότερα τεῖχος
with the old wall make both wall
ἕν, καὶ ὕψωσον αὐτὸ εἰς ὕψος πολύ. ὑψωμένου δὲ τοῦ
one and raise it to height great being-raised and the
χώματος ὑπερβαινέτω εἰς ὕψος οἰκοδομούμενον τὸ σὸν
mound let-surpass in height being-built the your
τεῖχος καὶ οὐ κατακυριεύσει σου ὁ χωματισμός, διὰ
wall and not will-master you the earthwork because-of
τὸ εἶναί σε εἰς ὑπερέχον ὕψος. διὰ τοῦτο δέ σοι λέγω
the to-be you at surpassing height because-of this and to-you I-say
ὅτι· κτίσον ἔνδον τοῦ τείχους καὶ ἕτερον καὶ ἕνωσον
that build inside the wall also another and unite
ἀμφότερα τείχη εἰς ἕν, διότι ἐὰν οὐκ ἔχει τὸ τεῖχος τὸ
both walls into one because if not has the wall the
πάχος πολὺ καὶ ὑψώσεις αὐτό, καταπίπτει. τὸν δὲ παρὰ
thickness great and you-will-raise it it-falls-down the and by
τοῦ ἐχθροῦ γινόμενον χωματισμόν, εἰ δύνασαι, καῦσον,
the enemy made earthwork if you-can burn
ἐπεὶ οὐκ ἔστιν ἅπας ὁ χωματισμὸς χῶμα, ἀλλὰ καὶ ξύλα.
since not is all the earthwork earth but also timbers
περι τοῦ μὴ ἐξελθεῖν σε καὶ ποιῆσιν πόλεμον. 80
about the not to-go-out you and to-make battle
Ἐὰν ἔλθῃ ὁ ἐχθρὸς μετὰ πάσης αὐτοῦ τῆς δυνάμεως, μὴ
if comes the enemy with all his the force not
ἐξέλθῃς ἔξω τοῦ κάστρου πολεμῆσαι αὐτῷ, ἀλλὰ φύλαττε
go-out outside the fortress to-make-war-on him but guard
καὶ πολέμησον αὐτῷ ἀπὸ τῶν προμαχώνων ἕως δύο καὶ
and make-war-on him from the battlements for two and

τριῶν ἡμερῶν. στοχασάμενος δὲ αὐτοῦ τὴν δύναμιν, τὴν
three days having-estimated and his the force the
ἐνέργειαν καὶ τὸν πόλεμον καὶ τὰς μηχανὰς, τότε, εἰ
energy and the battle and the devices then if
δύνασαι, ἐξαίφνης ἀκρωτηρίασαι αὐτόν. ἐξελθέτωσαν οἱ
you-can suddenly to-maim him let-go-out the(-ones)
μὴ φυλάσσοντες τὰ τείχη, οἱ δὲ ἐπὶ τῶν τειχέων τὸ
not guarding the walls the(-ones) and on the walls —
σύνολον μὴ κατιέτωσαν· ἀρκεῖ γάρ σοι καὶ τὸ φυλάττειν
at-all not let-them-come-down it-suffices for to-you also the guarding
τὸ κάστρον. εἴπω δέ σοι τι τοιοῦτον συμβάν.
the fortress let-me-tell and to-you something such having-happened
ὁ Βοϊάνος κάστρον ἐστὶ βουλγαρικὸν ὀχυρόν. εἰσελθὼν
— Boïanos fortress is Bulgarian strong having-entered
δὲ ὁ βασιλεὺς κύριος Μιχαὴλ εἰς πόλεμον εἰς Βουλγαρίαν
and the emperor lord Michael to war into Bulgaria
καὶ ἐπιβὰς τῇ Τριαδίτζῃ κατέλαβεν καὶ τὸν Βοϊάνον.
and having-set-foot-on — Triaditza reached also — Boïanos
ἦσαν ἐκεῖ ἄνδρες ὀνομαστοὶ καὶ πολεμισταὶ Βούλγαροι, ὁ
there-were there men famous and warlike Bulgarians the
δὲ ἐξάρχων αὐτῶν ἐκεῖσε ἦν ὁ Βότκος οὕτω καλούμενος.
and leader their there was — Botkos so called
θαρρήσαντες δὲ εἰς τὴν ἀνδρείαν αὐτῶν ἐξέρχονται ἔξω
having-trusted and in the bravery their they-come-out outside
τοῦ κάστρου πολεμῆσαι, ὥσπερ αἰσχυνόμενοι ἔνδον εἶναι
the fortress to-make-war as-if being-ashamed inside to-be
τοῦ κάστρου. συναφθέντος δὲ τοῦ πολέμου καὶ τῆς
the fortress having-been-joined and the war and the
μάχης κραταιᾶς γενομένης τρέπονται οἱ ὀνομαστοὶ ἐκεῖνοι
battle fierce having-become are-routed the famous those
Βούλγαροι. θελόντων οὖν αὐτῶν εἰσελθεῖν τὴν πύλην τοῦ
Bulgarians wishing then them to-enter the gate of-the

κάστρου συνῆλθον αὐτοῖς καὶ οἱ Ῥωμαῖοι καὶ ἑλόντες
fortress entered-together with-them also the Romans and having-taken
τὴν πόλιν ἐποίησαν φόνον μέγαν. πρόσεχε οὖν τούτοις.
the city made slaughter great take-heed then to-these(-things)

VI · MORE STORIES AND THE HOUSEHOLD

Moreia's defenders burned Basil II's siege mound; Symeon's men cut the pivots of a Greek city's raised gates; Chosroes took Antioch where its walkway collapsed; Hagarene pirates came to Demetrias as traders; Robert the Frank seized Teras of Bisignano at a parley. Officers obey their general, and zeal is the soldier's only road to success. A man living at home works his land, plants trees, and builds mills, never borrowing, since a lender shames his debtor in public. He keeps the daily hours of prayer.

περι ἑτέρου κάστρου ἵστορία. 81
about another fortress story
Εἶπω δέ σοι καὶ ἕτερον τοιοῦτον συμβάν. ἔστι
let-me-tell and to-you also another such having-happened there-is
κάστρον ὀνομαζόμενον Μόρεια μέσον Φιλίππου πόλεως
fortress named Moreia between of-Philip city
καὶ Τριαδίτζης, κατείχετο δὲ ὑπὸ τῶν Βουλγάρων.
and Triaditza it-was-held and by the Bulgarians
ὁπλισθεὶς δὲ πρὸς μάχην ὁ πορφυρογέννητος βασιλεὺς
armed and for battle the born-in-the-purple emperor
κῦρ Βασίλειος καὶ καταλαβὼν τὴν Μόρειαν ἐπιστήσας
lord Basil and having-reached — Moreia having-set
μαγγανικὰ ἐσφενδοβόλει βιαίως, εἶτα ποιεῖ χωματισμόν. ὡς
engines slung violently then makes earthwork as
οὖν ὕψωσεν ὁ χωματισμός, μηχανῶνται οἱ ἔνδον τοῦ
then rose the earthwork contrive the(-ones) inside the

κάστρου μηχάνημα μνήμης ἄξιον. νεωτέρους γὰρ γενναίους
fortress device of-memory worthy younger(-men) for noble
δώροις δεξιωσάμενοι ἀπέστειλαν· οἱ δὲ ὑπεισελθόντες
with-gifts having-welcomed they-sent they and having-crept-in
ἔνδον τοῦ χωματισμοῦ διὰ τῶν ἔξωθεν ξύλων καὶ εἰς
inside the earthwork through the outside timbers and to
τὸ πρόσω χωρήσαντες, ἔχοντες δᾷδας καὶ ῥητίνην καὶ
the forward having-gone having torches and resin and
πυρεκβόλους ἅπτουσιν ἔνδον καὶ ἐξέρχονται. καὶ ἡ μὲν
fire-throwers kindle inside and come-out and the indeed
φλὸξ ἔξω οὐχ ὡρᾶτο, διὰ τὸ εἶναι εἰς βάθος ἔνδον
flame outside not was-seen because-of the to-be in depth inside
τῶν χωμάτων καὶ τῶν ξύλων, περιλαβοῦσα δὲ διὰ
the mounds and the timbers having-seized and through
πάσης τῆς νυκτὸς τὰ ἐν τῷ χωματισμῷ πάντα πρὸς
all the night the(-things) in the earthwork all toward
ὄρθρον ἐξαίφνης πρὸς ὕψος ἐρριπίσθη καὶ ἀπώλετο ὁ
dawn suddenly to height was-fanned and perished the
χωματισμός. ὁ δὲ βασιλεὺς λυπηθεὶς ἀνεχώρησε, καὶ
earthwork the and emperor having-been-grieved withdrew and
ἔμειναν οἱ τοῦ κάστρου ἀχείρωτοι καὶ ἀήττητοι.
remained the(-ones) of-the fortress unsubdued and undefeated

82 ἕτερον ἱστορία.
other story

*** ἦν τις πόλις ἐν Ἑλλάδι πολυάνθρωπος. ἀγωνισάμενος
(lacuna) was some city in Hellas populous having-struggled
οὖν πολλὰ Συμεὼν ὁ ἄρχων, Βουλγάρων ὁ τότε
then much Symeon the ruler of-Bulgarians the then
τύραννος, εἰς τὸ ταύτην χειρώσασθαι, εἰς κενὸν αὐτῷ
tyrant for the it to-overpower in vain for-him
γέγονὲν ὁ κόπος. σοφίζεται οὖν ποιῆσαι ἀγάπην μετὰ τῶν
became the toil he-contrives then to-make love with the

πολιτῶν κάστρου, ὡς δῆθεν ἀποστελλόμενοι παρ᾽ αὐτοῦ
citizens of-the-fortress as forsooth being-sent by him
μήνυμα φέροντες. ἦσαν δὲ οἱ ἀποστελλόμενοι δεινοὶ
message carrying were and the(-ones) being-sent clever
εἰς τὸ στοχάσασθαι, ἀλκιμώτατοί τε καὶ ῥωμαλεώτατοι.
at the observing most-valiant both and strongest
οἵτινες στοχαζόμενοι εἶδον τὰς πύλας τῆς πόλεως
who observing saw the gates of-the city
μετεώρους ἐχούσας τὰς στρόφιγγας καὶ τὰς πύλας
raised having the pivots and the gates
ἀφεστηκυίας τῆς γῆς. κατανοήσαντες δὲ τοῦτο ἐλάλησαν
standing-off-from the ground having-perceived and this spoke
εἰς τὰ ὦτα τοῦ τυράννου. ὁ δὲ ἐπιλεξάμενος ἄνδρας
into the ears of-the tyrant he and having-chosen men
πέντε γενναίους ἀπέστειλεν εἰσελθεῖν εἰς τὸ κάστρο
five noble sent to-enter into the fortress
προφάσει δουλείας. ἦν δὲ παραγγείλας αὐτοῖς βαστάζειν
on-pretext of-service he-had and ordered them to-carry
πελέκεις εἰς τὰς ζώνας αὐτῶν ὄπισθεν, ὁπηνίκα δὲ τῇ
axes in the belts their behind when and the
πύλῃ προσβάλλουσι τοὺς μὲν τὴν πύλην φυλάττοντας
gate they-attack the(-ones) indeed the gate guarding
διαχειρώσασθαι, τὰς δὲ στρόφιγγας τῶν πυλῶν ἀποκόψαι.
to-dispatch the and pivots of-the gates to-cut-off
ὃ δὴ καὶ ἐποίησαν. ἀποκοπέντων γὰρ τῶν στροφίγγων
which indeed also they-did having-been-cut-off for the pivots
κατηνέχθησαν εἰς γῆν αἱ πύλαι. εὐθὺς οὖν ποιήσαντες
were-brought-down to ground the gates at-once then having-made
σημεῖον ὃ ἐνετείλατο αὐτοῖς, καταλαβεῖν πεποιήκασι
sign which he-commanded them to-seize they-made
τάχιστα καὶ οὓς εἶχεν εἰς τοῦτο παρασκευασμένους ὁ
most-quickly and whom he-had for this prepared the

τύραννος. θορυβηθέντων δὲ τῶν πολιτῶν διὰ
tyrant having-been-thrown-into-confusion and the citizens because-of
τὸ γεγονὸς εἰσεπήδησαν ἔνδον τῶν πυλῶν οἱ τοῦ
the happening leapt-in inside the gates the(-ones) of-the
τυράννου καὶ ἐκράτησαν τὴν πόλιν ἀναιμωτί.
tyrant and seized the city bloodlessly
83 περι τῆς μεγάλης ἀντιόχείας.
about the great Antioch
Ἡ δὲ μεγάλη Ἀντιόχεια οὐκ ἐκ τῶν νομιζομένων
the and great Antioch not from the supposed
ὀχυρωμάτων αὐτῆς παρεδόθη. καὶ γὰρ ὁ Χοσρόης ὁ
strongholds its was-handed-over and for — Chosroes the
τῶν Περσῶν βασιλεὺς προσβαλὼν αὐτῆς τοῖς τείχεσιν οὐκ
of-the Persians king having-attacked its the walls not
ἠδυνήθη ταύτην παραλαβέσθαι. ἦν δὲ εἰς ἕνα τόπον τὸ τεῖχος
was-able it to-take-over was and in one place the wall
πάνυ στενότατον. μὴ ἐχόντων δὲ ἄδειαν τῶν φυλάκων ἐν τῷ
very most-narrow not having and room the guards in the
περιπάτῳ διαβαίνειν εὐρυχώρως ἀπεχρέμασαν ξύλα μακρὰ
walkway to-pass spaciously hung-out timbers long
ἐπίσης τῷ περιπάτῳ, δήσαντες αὐτὰ τοῖς προμαχῶσιν ἐν
level with-the walkway having-bound them to-the battlements with
σχοινίοις. ἀνελθόντων δὲ ἀνθρώπων πλείστων καὶ βάρους
ropes having-gone-up and men very-many and weight
ἤδη δι᾽ αὐτῶν ἐπιτεθέντος τοῖς ξύλοις, ἑστῶτες κατέπεσον.
already through them put on-the timbers standing fell-down
ταραχθέντος δὲ ἐπὶ τούτοις τοῦ λαοῦ καὶ προσδοκήσαντος
having-been-troubled and at these the army and having-expected
εἰσιέναι τοὺς πολεμίους καὶ τὰ τείχη καταλιπόντος καὶ
to-be-coming-in the enemies and the walls having-left and
φυγόντος, ὁ Χοσρόης ἀναιμωτὶ τὴν πόλιν ἔλαβεν.
having-fled — Chosroes bloodlessly the city took

ἕτερον περι τοῦ μὴ πιστέβην ὅρκον εἰς κάστρον. 84
another about the not to-trust oath in fortress
Ἐὰν ἔλθῃ ἔθνος εἰς τὸ κάστρον σου καὶ ποιήσῃ ἀγάπην
if comes nation to the fortress your and makes love
μετὰ σοῦ καὶ ὁμόσῃ σοι, μὴ πιστεύσῃς αὐτῷ, ἀλλὰ
with you and swears to-you not trust him but
μᾶλλον τότε φύλαττε. καὶ εἰ θελήσει ποιῆσαι πανήγυριν
rather then guard and if he-will-wish to-make fair
πωλεῖν τε καὶ ἀγοράζειν, ποιησάτω· πλὴν μὴ ἵστησι
to-sell both and to-buy let-him-make(-it) but not let-him-set
ταύτην σύνεγγυς τοῦ κάστρου. ἄξιον γὰρ ἐπιμνησθῆναι
it near the fortress worthy for to-recall
πόλεως τῆς Δημητριάδος τί πέπονθε νεωστί. πέντε γὰρ
of-city — of-Demetrias what it-suffered lately five for
πλοῖα Ἀγαρηνῶν πειρατῶν ἦλθον ὥρᾳ πρώτῃ τῆς ἡμέρας·
ships of-Hagarene pirates came at-hour first of-the day
οἱ δὲ τῆς πόλεως προμαθόντες τὴν ἔφοδον αὐτῶν
the(-ones) and of-the city having-learned-beforehand the attack their
ἦσαν παρασκευασμένοι. ἐλθόντων οὖν τῶν Ἀγαρηνῶν
were prepared having-come then the Hagarenes
ἐμηνύθη παρ᾽ αὐτῶν τοῖς ἐν τῇ πόλει ὅτι· ἡμεῖς
it-was-announced by them to-the(-ones) in the city that we
οὐ πολεμῆσαι ἤλθομεν, ἀλλὰ ποιῆσαι φόρον καὶ πωλῆσαι
not to-make-war came but to-make market and to-sell
αἰχμαλώτους καὶ πράγματα ἃ ἔχομεν ἀπὸ κούρσου·
captives and goods which we-have from raid
καὶ εἰ κελεύετε, ὀμνύμεθα ὑμῖν καὶ διδόαμεν καὶ ὀψίδας
and if you-bid we-swear to-you and we-give also hostages
καὶ ποιοῦμεν πραγματείαν. οἱ δὲ ἐπίστευσαν αὐτοῖς ἐξ
and we-make trade they and believed them from
ἀπειρίας, καὶ ὀμνύουσιν ἀμφότεροι. τῇ γὰρ ἀπειρίᾳ
inexperience and swear both by-the for inexperience

προσπεσών τις, εἰ μὲν ἀγαθόν ἐστιν, εἰς ἄμετρον χαρὰν
having-fallen-upon someone if indeed good it-is into immoderate joy
καὶ ἀγενὲς θράσος ἐξολισθῆσαι πεποίηκεν, εἰ δέ τι κακὸν
and ignoble boldness to-slip has-made if and some evil
ἢ φοβερὸν, φανταζομένης τῆς ψυχῆς ἔκπληξιν ἐμποιεῖ.
or fearful imagining the soul consternation produces
δόντες οὖν λόγον δι' ὅρκων ἀμφότεροι καὶ ὀψίδας
having-given then word through oaths both and hostages
ἠμερίμνησαν. ἦν δὲ ἐκεῖσε ἄνθρωπός τις Βυζάντιος
became-careless there-was and there man some Byzantine
μὲν τὸ γένος, οἰκῶν δὲ ἐν Δημητριάδι, δολερὸς τὰ
indeed the race dwelling and in Demetrias crafty the
μάλιστα· Νῶε δὲ τῷ ῥηθέντι ἀνθρώπῳ ὄνομα. οὗτος
most Noah and to-the said man name he
πάσῃ μηχανῇ ἐμηχανήσατο τὰ τῶν ἐντοπίων χρήματα
by-every device contrived the of-the locals money
καὶ κτήματα ἀφελέσθαι καὶ ἴδια ταῦτα ποιῆσαι. δυνάστης
and possessions to-take-away and own these to-make potentate
οὖν τότε τυγχάνων ὁ τοιοῦτος ἐν Δημητριάδι, ἐφιέμενος
then then being the such(-man) in Demetrias desiring
δὲ καὶ ἀπὸ τῶν Σαρακηνῶν τι καρπώσασθαι, οὐ
and also from the Saracens something to-reap not
συνεχώρησεν αὐτοῖς ἀπελθεῖν μήκοθεν τοῦ κάστρου καὶ τὸν
allowed them to-go far-off the fortress and the
φόρον ποιῆσαι, ἀλλ' ἐποίησεν αὐτοὺς ποιῆσαι τὴν πρᾶσιν
market to-make but made them to-make the sale
σύγκολλα τοῦ τείχους, τοῦτο σοφισάμενος ὅτι εἰ μὲν
stuck-to the wall this having-contrived that if indeed
ἀπομήκοθεν τοῦ κάστρου γένηται ἡ πρᾶσις, οὐ δύναται
far-off the fortress happen the sale not he-can
ἀπελθεῖν καὶ ἰδεῖν τί πωλοῦσιν, εἰ δὲ σύγκολλα τοῦ
go and to-see what they-sell if and stuck-to the

τείχους, ἀπὸ τοῦ πύργου ἔχει βλέπειν τί ἀρεστὸν αὐτῷ
wall from the tower he-has to-see what pleasing to-him
ἐστὶν καὶ ἀναλαβέσθαι ὡς δῆθεν ἀγοράσων τὸ τοιοῦτον,
is and to-take-up as forsooth going-to-buy the such(-thing)
ἑσπέρας δὲ γενομένης μηδὲν λαβόντες ὑποχωρήσωσι κενοί.
evening and having-come nothing having-taken they-withdraw empty
πραγματευσάμενοι οὖν οἱ τοιοῦτοι ὀλίγον προσεποιήσαντο
having-traded then the such(-men) a-little pretended
εἰσελθεῖν εἰς τὰ πλοῖα ὑετοῦ ῥαγδαίου κατενεχθέντος.
to-enter into the ships rain violent having-come-down
οἱ δὲ τῆς πόλεως κατελθόντες τῶν τειχέων εἰσῆλθον
the(-ones) and of-the city having-come-down from-the walls they-entered
εἰς τὰς οἰκίας διὰ τὸν ὑετὸν, καταλιπόντες φύλακας
into the houses because-of the rain having-left guards
ὀλίγους, οἳ δι᾽ ἀπειρίαν καὶ αὐτοὶ ἠμέλησαν. οἱ δὲ
few who through inexperience also themselves neglected the and
Ἀγαρηνοὶ μὴ μελλήσαντες ἐποίησαν δοκιμὴν ῥίψαντες
Hagarenes not having-delayed made trial having-thrown
ἀπὸ τῶν πέντε πλοίων ἀνὰ πέντε ἄνδρας ἐνόπλους.
from the five ships by five men armed
οἳ καὶ διαβάντες ἐκ πλαγίου τοῦ κάστρου, ὅθεν οὐκ
who also having-crossed from flank of-the fortress whence not
εἶχον οἱ ἐντόπιοι ὑποψίαν, ἀνῆλθον εἰς τοὺς προμαχῶνας
had the locals suspicion went-up to the battlements
τοῦ κάστρου διὰ τῶν σύγκολλα τοῦ τείχους οἰκιῶν
of-the fortress through the stuck-to the wall houses
καὶ κεράμων καὶ ἐκράτησαν πόλιν τοιαύτην ὀχυρὰν
and tiles and seized city such strong
καὶ βρίθουσαν παντὸς ἀγαθοῦ ἐπευθείας καὶ χωρὶς
and teeming with-every good straightway and without
μάχης.
battle

85 ἄλλο περι φράγγου.
other about a-Frank
Εἶπω δέ σοι καὶ ἕτερον [ἐὰν ἔχῃς χάρισμα Θεοῦ,
let-me-tell and to-you also another if you-have gift of-God
εἶ στρατηγικώτατος], ὃ Τήρας ὁ Καλαβρὸς πέπονθεν
you-are most-skilled-general what Teras the Calabrian suffered
πόλεως ὢν φύλαξ τῆς Βισινιάνων. ἦν γὰρ πλούσιος
of-the-city being guard — of-Bisignano he-was for rich
πάνυ καὶ εὐγενὴς καὶ πρῶτος ἄνθρωπος τῆς χώρας. ὁ δὲ
very and well-born and first man of-the land — and
Ῥουπέρδος ὁ Φράγγος κατὰ συγχώρησιν Θεοῦ γεγονὼς
Robert the Frank by permission of-God having-become
τύραννος ἐσπούδαζε κρατῆσαι αὐτόν. ποιήσας οὖν πᾶσαν
tyrant strove to-seize him having-made then every
μηχανὴν ἀπεκρούσθη. τί οὖν ποιεῖ; ἔρχεται ὡς φίλος ἔξω
device he-was-repulsed what then does-he he-comes as friend outside
τῆς πόλεως καὶ μηνύει αὐτῷ ἐξελθεῖν ἔξω τῆς πύλης, ὡς
the city and sends-word to-him to-come-out outside the gate as
δῆθεν ἀναγκαίας ὑποθέσεως ἕνεκα καὶ μυστηρίου. ἐξέρχεται
forsooth necessary matter for-the-sake and secret comes-out
οὖν ὁ Τήρας ἔξω μὲν τῆς πύλης τοῦ κάστρου, ἔσω δὲ τοῦ
then — Teras outside indeed the gate of-the fortress inside and the
χάντακος. προσεποιήσατο οὖν ὁ Φράγγος φοβεῖσθαι τοὺς
ditch pretended then the Frank to-fear the(-ones)
συνεξελθόντας τῷ Τήρᾳ. εἶτα προσέταξεν ὁ Τήρας αὐτοὺς
having-come-out-with — Teras then ordered — Teras them
ὑποχωρῆσαι, καὶ μονωθείς, ἔστησαν ἀμφότεροι εἰς ὁμιλίαν. ὁ
μὴ συνοδεύσῃς. εἰ δὲ καὶ παρὰ γνώμην σου ἔτυχες αὐτοῦ
not travel-together if and also against will your you-met him
ἐν ὁδῷ, αὖθις διαχωρίσθητι. εἰς ποταμὸν μὴ ἀνδρίζου,
on road again part into river not play-the-man
καὶ ὑποκάτου κρημνοῦ ἢ ὄρους μὴ οἰκήσῃς· κυλισθήσεται
and beneath cliff or mountain not dwell will-be-rolled
γὰρ λίθος καὶ προσπεσὼν τῇ οἰκίᾳ σου, τάφος σοι
for a-stone and having-fallen-on the house your tomb for-you
πανοικὶ ἡ οἰκία γενήσεται καὶ οὐ γνώσῃ. πολλοὺς
with-all-the-household the house will-become and not you-will-know many
γὰρ ἔγνων ἐγὼ τοῦτο παθόντας. ἔνθα τὴν ὁδὸν οὐκ
for I-knew I this having-suffered where the road not
ἐπίστασαι μὴ νυκτοπορῇς. μύκητα πρόσφατα μὴ ἐσθίῃς·
you-know not travel-by-night mushrooms fresh not eat
πολλαὶ γὰρ οἰκίαι ἐξ αὐτῶν ἔμειναν ἔρημοι. ὁ ἐπάνω
many for houses from them remained desolate the(-one) over
ποταμοῦ πεπαγωμένου ἢ λίμνης διαβαίνων, οὗτος ἐφίεται
river frozen or lake crossing he desires
αὔθωρον ἰδεῖν τὸν θάνατον αὐτοῦ· ὁ δὲ ἐπὶ ξυλίνου
instantly to-see the death his the(-one) and over wooden
γεφυρίου διαβαίνων ἔφιππος, οὗτος κλασθῆναι ἐφίεται καὶ
bridge crossing on-horseback he to-be-broken desires and
τὸν ἵππον αὐτοῦ προσαπολέσαι· ἀνατραπέντος γὰρ ξύλου
the horse his to-lose-besides having-been-overturned for timber
εὐτελοῦς ἢ κυλισθέντος ἢ τοῦ ἵππου μικρὸν ὀλισθήσαντος
cheap or rolled or the horse a-little having-slipped

ἐπιμνησθήσεται τοῦ λόγου μου. δειπνᾶν εἰς κόρον μὴ θέλε. οἱ
he-will-remember the word my to-dine to satiety not wish the
παῖδές σου λογικὰ καὶ θεωρητικὰ μαθήματα παιδευέσθωσαν.
children your rational and theoretical lessons let-them-be-taught
περι τοῦ πράττειν θέματος. 111
about the to-administer of-theme
Τὸ δὲ πράττειν καὶ ἐξουσιάζειν θεμάτων μὴ παραιτοῦ· ἔσο
the and to-administer and to-have-authority-over themes not decline be
γὰρ γινώσκων ὅτι εὐλογία Θεοῦ ἐστὶ τὸ ἀξίωμα. τὸ δὲ κακῶς
for knowing that blessing of-God is the dignity the and badly
πράττειν παραιτοῦ. πράττων δὲ τῆς οἰκίας σου ἐπιμελοῦ
to-administer decline administering and the house your take-care-of
καὶ λάμπρυνον αὐτήν· παυσάμενον γάρ σε τοῦ πράττειν
and make-splendid it having-ceased for you from-the administering
ἡ οἰκία σου ὑποδέξεται καὶ ἐν τῇ οἰκίᾳ σου ἀναπαυθήσῃ.
the house your will-receive and in the house your you-will-rest
περι παιδίας θυγατέρων. 112
about upbringing of-daughters
Οἱ υἱοί σου καὶ αἱ θυγατέρες σου σεβέσθωσάν σε, σὺ δὲ
the sons your and the daughters your let-them-revere you you and
αἰδοῦ αὐτοὺς καὶ μὴ καταφρονῇς αὐτῶν, εἰ καὶ νήπιοί
respect them and not despise them if even infants
εἰσιν· ὡς γὰρ ἀπὸ σοῦ μάθωσιν, οὕτως ποιήσουσιν. ἀλλὰ
they-are as for from you they-learn thus they-will-do but
καὶ σὺ ἑαυτὸν αἰδοῦ· ὁ γὰρ μὴ ἑαυτὸν αἰδούμενος
also you yourself respect the(-one) for not himself respecting
οὐδὲ ἄλλον αἰδεσθήσεται. μὴ εἶ θρασὺς· πᾶς γὰρ ὁ
not-even another will-respect not be bold every for the(-one)
παραλόγως θρασυνόμενος ἐνύστερον μετάμελος γίνεται.
unreasonably being-bold afterward regretful becomes
πρεσβύτην καὶ νέον τίμησον, καὶ ἀντιτιμηθήσῃ παρ'
an-old-man and young honor and you-will-be-honored-in-return by

αὐτῶν καὶ παρὰ τοῦ ποιήσαντος αὐτούς. εἰς ἐκκλησίαν
them and by the(-one) having-made them into church
εἰσιὼν μὴ περιεργάζου κάλλη γυναικῶν, ἀλλὰ πρὸς τὸ
entering not scrutinize beauties of-women but to the
θυσιαστήριον βλέπε κάτω νεύων.
altar look down nodding
113 περι ἀναγνώσεως.
about reading
Ἀναγίνωσκε πολλὰ καὶ μαθήσῃ πολλά. καὶ εἰ οὐ νοεῖς,
read much and you-will-learn much and if not you-understand
θάρσει· πολλάκις γὰρ διελθόντι σοι τὴν βίβλον παρὰ
take-courage often for having-gone-through to-you the book from
Θεοῦ γνῶσις δοθήσεται καὶ νοήσεις αὐτήν. ἃ
God knowledge will-be-given and you-will-understand it what(-things)
οὐ γινώσκεις ἐρώτα τοὺς ἔχοντας γνῶσιν καὶ μὴ
not you-know ask the(-ones) having knowledge and not
ὑψηλοφρονῇς· ἐκ ταύτης γὰρ τῆς αἰτίας, ἐκ τοῦ μὴ θέλειν
be-high-minded from this for the cause from the not to-wish
ἐρωτᾶν καὶ μανθάνειν, εἰσὶν ἐλλιπεῖς εἰς γνῶσιν οἱ ἄνθρωποι.
to-ask and to-learn are deficient in knowledge the men
ὁπόταν τις ὁμιλῇ, ἄφες αὐτῷ πληρῶσαι τὴν ὁμιλίαν
whenever someone converses let him to-complete the conversation
αὐτοῦ. καὶ εἰ μὲν ἀγαθὴ ἡ σοφία ἐστὶν, ὠφεληθήσῃ,
his and if indeed good the wisdom is you-will-be-profited
εἰ δ' ἀγενὴς, καὶ οὕτως ὠφεληθήσῃ, μεμψάμενος αὐτήν.
if and ignoble even thus you-will-be-profited having-blamed it
ἐρεύνα τὰς γραφὰς, καθὼς ὁ Κύριος προσέταξεν, ἀλλὰ
search the scriptures as the Lord ordered but
μὴ περιεργάζου αὐτάς. μὴ ὑπνώσῃς μηδὲ μείνῃς εἰς οἰκίαν
not scrutinize-curiously them not sleep nor stay in house
ἔνθα γινώσκεις ὅτι ὄφις ἐστὶν ἢ μικρὸς ἢ μέγας.
where you-know that snake there-is either small or great

περι ἐλεήμοσύνης εἰς φίλον καὶ ἐχθρόν. 114
about almsgiving to friend and enemy

Ἐάν τις σε αἰτήσεται δοῦναι αὐτῷ ἐλεημοσύνην, δὸς αὐτῷ
if anyone you will-ask to-give him alms give him
μετὰ προθυμίας καὶ μὴ ἀναβάλλῃ. καὶ εἰ μέν ἐστι φίλος σου,
with eagerness and not put-off and if indeed he-is friend your
εὐχαρίστησον τῷ Θεῷ ὅτι διηκόνησας αὐτῷ διὰ χειρῶν
give-thanks — to-God that you-ministered to-him through hands
σου· εἰ δέ ἐστιν ἐχθρός σου, ζητῶν σε καὶ ἔλαβε παρὰ σοῦ.
your if and he-is enemy your seeking you and he-received from you
εἰ δέ ἐστιν ἀγνώριστος, νόμισον τὸν Χριστὸν εἶναι καὶ
if and he-is unknown think — Christ to-be(-him) and
εὐχαρίστησον αὐτῷ. ἐάν σε ζητήσει τις δάνεισμα, εἰ μὲν
give-thanks to-him if you will-ask someone a-loan if indeed
εἰς ἀνάρρυσιν θέλει αὐτῷ αἰχμαλώτων ἢ εἰς ἄλλην τινὰ
for redemption he-wishes it of-captives or for other some
ἀναγκαίαν πάνυ καὶ εὔλογον αἰτίαν, δὸς αὐτῷ ὃ δύνασαι,
necessary very and reasonable cause give him what you-can
καὶ εἰ αὐτὸς οὐχ ἀποδώσει, ὁ Θεὸς διπλοῦν σοι τοῦτο
and if he not will-repay — God double to-you this
παρέξει, μόνον μὴ διὰ τόκον ἢ αἰσχροκέρδειαν καὶ ἔρωτα
will-provide only not for interest or base-gain and love
σατανικόν. εἰ δὲ χρήζει αὐτοῦ εἰς τὸ ἐκλαβέσθαι δημοσιακὴν
satanic if and he-needs it for the to-take-on public
δουλείαν ἢ ἀγορὰν ψυχαρίων ἢ κτημάτων ἢ ἄλλων
service or purchase of-slaves or of-properties or of-other
τινῶν ἢ εἰς πραγματείαν, μὴ δώσῃς αὐτῷ, καὶ χαώσεις
some(-things) or for trade not give him and you-will-lose
καὶ τὸ πρᾶγμά σου καὶ ποιήσῃς καὶ τὸν φίλον σου ἐχθρόν.
both the property your and you-will-make also the friend your enemy

περὶ πανούργων δανειζομένων.
about villainous borrowers

Σὺν τούτοις δὲ πρόσεχε καὶ τοῖς ἐν πανουργίᾳ θέλουσι
with these and take-heed also to-the(-ones) in villainy wishing
δανείσασθαι ἀπὸ σοῦ· πολλοὶ γὰρ ἀπώλεσαν οὕτως τὸν
to-borrow from you many for lost thus the
ἄρτον αὐτῶν. καὶ ἄκουσον πῶς. οὐ γὰρ πρῶτον ζητεῖ τὸ
bread their and hear how not for first seeks the
δάνεισμα ὁ οὕτως θέλων δανείσασθαι, ἀλλὰ ἀποστελεῖ
loan the(-one) thus wishing to-borrow but he-will-send
σοι βρώσιμά τινα, λαγωοὺς τυχὸν ἢ πέρδικας ἢ ἰχθύας,
you foods some hares perhaps or partridges or fish
καὶ ἄλλα τινὰ [καὶ] οἷον εὐώδη· εἶτα καὶ δεύτερον
and other some(-things) and such-as fragrant(-things) then also a-second
καὶ τρίτον τοῦτο ποιήσει, καὶ αὖθις καλέσει σε, ὡς
and a-third(-time) this he-will-do and again will-invite you as
δῆθεν ἀγαπῶν σε, καὶ ἅπαξ καὶ δίς. ἔπειτα ὑποδείξει σοι
forsooth loving you both once and twice then he-will-show you
χρυσίον ἱκανὸν ὅπερ ἀπ᾽ ἄλλου ἐδανείσατο, καὶ εἴπῃ
gold sufficient which from another he-borrowed and he-will-say
σοι ὅτι· ταῦτα παρεῖχον εἰς τὴν δεῖνα τὴν πραγματείαν,
to-you that these I-was-providing for the so-and-so the business
ἀλλ᾽ οὐ θέλουσιν τοιαύτην χαραγὴν, ἀλλὰ τὴν δεῖνα (οἵαν
but not they-want such coinage but the so-and-so such-as
νοεῖ ὅτι ἔχεις σύ). καὶ γινώσκω, φησίν, ὅτι ἔχεις, καὶ
he-perceives that have you and I-know he-says that you-have and
ἂν με ἀγαπᾶς, δός μοι, μὴ ἀπολέσω τὴν πραγματείαν, ἐπεὶ
if me you-love give me not let-me-lose the business since
πολλὰ μέλλω ὠφεληθῆναι, καὶ αὔριον εἴτε δείλης τῆς
much I-am-about to-be-profited and tomorrow or in-the-evening of-the
ἑβδομάδος λήψῃ τὸ σὸν μετὰ καὶ δώρων μεγίστων. εἰ
week you-will-receive the yours with also gifts greatest if

δὲ μὴ τοῦτο εἴποι, ἀλλ' εἴπῃ ἕτερον, οἷον ὅτι· ταῦτα ἔχω
and not this he-say but he-say other such-as that these I-have
τὰ νομίσματα πρὸ χειρῶν ἃ βλέπεις, καὶ εἴτε ἡ κλεὶς
the coins at hands which you-see and either the key
τοῦ κιβωτίου ἀπώλετο, εἴτε χθὲς, εἴπῃ, ἦλθε φίλος μου
of-the box was-lost or yesterday he-say came friend my
καὶ δέδωκα αὐτῷ λίτρας τόσας καὶ ἄρτι χρήζω καὶ δός
and I-gave him pounds so-many and just-now I-need and give
μοι· εἰς ἐμὲ οὐδὲν ἵνα χαώσεις. ταῦτα εἰπὼν οὖν καὶ
me for me nothing that you-will-lose these(-things) having-said then and
καταθέλξας σε, μᾶλλον δὲ καταχαυνώσας, μετὰ πολλῆς
having-charmed you rather and having-made-slack with much
τῆς προθυμίας ἀπὸ σοῦ δανείσεται, ἐπιμνησθέντος σου
the eagerness from you he-will-borrow remembering you
μᾶλλον καὶ τῶν παρ' αὐτοῦ σταλέντων σοι ἐδωδίμων καὶ
rather also the by him sent to-you foods and
τῶν πολυτελῶν τραπεζῶν καὶ εἰσέτι ταῦτα ἐλπίζοντος.
the costly tables and still these(-things) hoping
ὁ δὲ λαβὼν κέρδος τὰ σὰ ἡγήσεται καὶ, εὐλογημένοι,
he and having-taken gain the yours will-regard and blessed
εἴπῃ, οἱ λαγωοὶ καὶ τὰ λοιπὰ ἃ ἀπέστειλον αὐτῷ,
he-say the hares and the rest which I-sent to-him
καὶ αἱ τράπεζαι μακάριαι αἳ προσέφερόν μοι τόσον
and the tables blessed which brought me so-much
χρυσίον. κατὰ μικρὸν δὲ ἄρξεται τοῦ μακρύνεσθαι ἀπὸ
gold by little and he-will-begin of-the being-far from
σοῦ. μηνύσεις δὲ αὐτῷ ἀποδοῦναί σοι, καὶ λόγους
you you-will-send-word and to-him to-repay you and words
χαρίσεται. εἶτα ἐπιχειρήσει καὶ ἀποκρύβεσθαι ἀπὸ σοῦ. σὺ
he-will-bestow then he-will-attempt also to-hide from you you
δὲ ὀρθριεῖς εἰς τὸν πυλῶνα αὐτοῦ, ὁ δὲ οὐδὲ ἀπόκρισιν
and will-rise-early to the gateway his he and not-even answer

δώσει, καὶ ὑποχωρήσεις κατηφής. εἰ δὲ καὶ αἰφνιδίως
will-give and you-will-withdraw downcast if and also suddenly
εἰσέλθῃς καὶ θελήσεις αὐτῷ ὁμιλῆσαι, προβαλεῖται ἄλλο
you-enter and you-will-wish to-him to-speak he-will-put-forward other
τι, ὡς δῆθεν εἴτε χολαινόμενος κατ᾽ ἄλλου εἴτε λύπην
something as forsooth either being-angry against another or grief
ἔχων. εἰ δὲ καὶ ἀναγκασθεὶς εἴπῃς αὐτῷ τι, εἴπῃ σοι
having if and also compelled you-say to-him anything he-says to-you
ὅτι· οὐχ αἰσχύνῃ ἀναγκάζων με διὰ τὰ κίβδηλα καὶ
that not you-are-ashamed compelling me because-of the false and
ἄστατα ἐκεῖνα νομίσματα; πίστευσον, εἴπερ ἐγίνωσκον
unstable those coins believe(-me) if-indeed I-knew
ὅτι τοιοῦτος εἶ, οὐ μὴ ἔλαβον ἀπὸ σοῦ ταῦτα.
that such you-are not — I-would-have-taken from you these(-things)
ἐγὼ γάρ, φησί, τὴν πραγματείαν μου οὐχ ἐπώλησα. καὶ
I for he-says the business my not I-sold and
ἄλλα τινὰ πιθανὰ ἐπειπὼν ἀποπέμψει σε κενόν.
other some(-things) plausible having-said-besides will-send-away you empty
εἴπῃ δέ σοι μετὰ τοῦτο ὅτι· πίστευσον, ἅ σοι
he-says and to-you after this that believe(-me) what(-things) to-you
ἐπέστειλα ἐδώδιμα καὶ αἱ τράπεζαι ἃς ἐδαπάνησας καὶ
I-sent foods and the tables which you-consumed and
ἃ τότε μυριστικὰ εἴληφεις καὶ ἐκαπνίσω, πολλοῦ
what(-things) then perfumes you-took and you-smoked of-much
τιμήματος ἦσαν· καὶ τί σε ἐντρεπόμην ἐγώ; καὶ θήσει
price were and why you was-I-respecting I and he-will-set
καὶ ταῦτα εἰς τὸ κεφάλαιον. σὺ δὲ θελήσεις κἂν τὸ
also these(-things) into the capital you and you-will-wish even the
ἥμισυ λαβεῖν καὶ οὐ δοθήσεταί σοι, ὁ δὲ ψέξει σε καὶ
half to-take and not it-will-be-given to-you he and will-blame you and
διαβάλῃ τὰ μάλιστα. καὶ τί πολλὰ λέγω; ἐχθρὸς ἔσται
slander the most and why much do-I-say enemy he-will-be

σοι ἀπεχθὴς πῦρ πνέων κατὰ σοῦ. καὶ τὰ μὲν οἱ
to-you hateful fire breathing against you and the(-things) indeed the
δανεισταὶ μηχανῇ πειρῶνται, ἕτεροι δὲ ἀδελφοποιήσεις
lenders by-device try others and brotherhoods
καὶ συντεχνίας ἐπιτηδεύονται, προξενοῦσί τε γαμβροὺς
and co-godparenthoods contrive procure both sons-in-law
καὶ νύμφας, καὶ τὰ ὑπὲρ δύναμιν ἐπαγγελλόμενοι
and brides and the(-things) beyond ability promising
πάσῃ μηχανῇ πειρῶνται στερῆσαί σε τὸ σόν. πρόσεχε
by-every device they-try to-deprive you the yours take-heed
οὖν τούτοις,
then to-these(-things)
περι κνιποῦ καὶ εὐθηνου. 116
about stingy and spendthrift
Δύο ἐμίσησα, κνιπὸν καὶ εὐθηνὸν, εὐθηνὸν μὲν μηδὲν ἔχοντα
two I-hated stingy and spendthrift spendthrift indeed nothing having
καὶ πτωχὸν καὶ ὑπὲρ τὴν αὐτοῦ δύναμιν ἐξουσιάζοντα,
and poor and above the his ability spending
κνιπὸν δὲ περισσευόμενον, καὶ ἐταλάνισα καὶ τοὺς
stingy and abounding and I-pitied also the
ἀμφοτέρους. σὺ δὲ ἐάν σοι δέδωκεν ὁ Θεὸς, μὴ εἶ κνιπὸς,
both you and if to-you has-given — God not be stingy
ἀλλ' εὐμετάδοτος ἔσο συμμέτρως· πλὴν μὴ εἰς μίμους καὶ
but generous be moderately but not to mimes and
αἰσχρολόγους καὶ κόλακας, εἰς σεμνοὺς ἀνθρώπους, φίλους
foul-talkers and flatterers to respectable men friends
τε καὶ ὑστερημένους. καὶ εἰ μὲν θέλεις δοῦναι ἐλεημοσύνην,
both and needy(-ones) and if indeed you-wish to-give alms
δὸς ἐν παντὶ καιρῷ, ἑσπέρας καὶ πρωὶ καὶ μεσημβρίας· εἰ δὲ
give at every time evening and morning and midday if and
θέλῃς χαρίσαι, ἀπὸ ἀρίστου μὴ χαρίσῃς· ὑπολάβωσι γὰρ ὅτι
you-wish to-bestow after breakfast not bestow they-will-suppose for that

μεθυσθεὶς ἐδωρήσω· πρωὶ δὲ μᾶλλον δός. εἰς δὲ
having-been-made-drunk you-gave in-the-morning and rather give to and
τὴν ἐλεημοσύνην ὅρον μὴ ἔχῃς, ἀλλ᾽ ὁπόταν εἰς τὸν λογισμόν
the alms limit not have but whenever into the reasoning
σου ἔλθῃ, δὸς· εἰ γὰρ ἀργήσεις, ἐμποδίσει σε ὁ διάβολος.
your it-comes give if for you-will-delay will-hinder you the devil
αἱ θύραι τῆς οἰκίας σου ἐπὶ ἀνατολὰς ἔστωσαν
the doors of-the house your toward (the)-east let-be
βλέπουσαι, ἵνα δέχωνται τὸν ἀέρα. τὰ ὑποζύγιά σου
looking that they-receive the air the beasts your
ἔστωσαν παχέα· οὐ γὰρ οἶδας τί συμβήσεται. οἰκέτην
let-be fat not for you-know what will-happen servant
ἀργὸν μὴ ἔχε. μοναχοῖς ὁμίλει πυκνοτέρως, καὶ εἰ ἰδιῶταί
idle not have with-monks converse more-frequently and if unlearned
εἰσιν, μὴ καταγίνωσκε αὐτῶν· οἱ γὰρ θεῖοι ἀπόστολοι, εἰ
they-are not condemn them the for divine apostles if
καὶ ἰδιῶται ἦσαν τῷ λόγῳ, ἀλλὰ τὸν κόσμον ἐφώτισαν.
even unlearned they-were in-the speech yet the world enlightened
τοὺς ἐξυπηρετοῦντάς σοι ἐλευθέρους, εἰ δύνασαι, εὐεργέτει,
the(-ones) serving you free if you-can benefit
καὶ εἰ θελήσουσιν εὐεργετηθέντες ἀπὸ σοῦ ὑποχωρῆσαι,
and if they-will-wish having-been-benefited by you to-withdraw
μὴ βιάσῃς αὐτούς· οὐ γάρ ἐστι δίκαιον.
not force them not for it-is just
117 περι τοῦ οἴνου γεώργειν.
about the wine to-cultivate
Οἶνον ἀγωνίζου γεωργεῖν πολὺν, ὀλίγῳ δὲ αὐτῷ χρῶ·
wine strive to-cultivate much a-little and of-it use
ὁ γὰρ δαιμόνων ἅπαξ τῆς σελήνης τυχὸν ἢ τοῦ χρόνου
the(-one) for demoniac once of-the moon perhaps or in-the year
παραφρονεῖ, ὅθεν πᾶσα αὐτοῦ ἡ ζωὴ ἐν σκότει. μὴ φονεύσῃς.
raves whence all his the life in darkness not murder

μὴ συνευδοκήσῃς εἰς βουλὴν φόνου, καὶ εἰ ἐμελέτησεν ἐκεῖνος
not consent to counsel of-murder even if planned that-one
θανατῶσαί σε. πᾶς γὰρ, φησίν, ὁ ἐκτείνων μάχαιραν
to-kill you every for he-says the(-one) stretching-out sword
ἐν μαχαίρᾳ ἀποθανεῖται. μὴ ἐφίεσαι προγνῶναι ἐκ
by sword will-die not desire to-foreknow from
μαντευομένων· ἥξει κἂν μὴ προγνῷς. εἰ δὲ κακόν, τί
soothsayers it-will-come even-if not you-foreknow if and evil what
σοι ὠφέλεια προδαπανᾶσθαι τῇ λύπῃ καὶ κατατρύχεσθαι;
to-you profit to-be-spent-beforehand by-the grief and to-be-worn-out
ἀναίτιον ἄνθρωπον μὴ διαβάλλῃς, μὴ ἐγκληματικῶς μήτε
guiltless man not slander neither criminally nor
χρηματικῶς. καὶ τί λέγω ἀναίτιον; ἀλλὰ μηδὲ αἴτιον.
pecuniarily and why do-I-say guiltless but not-even guilty
μᾶλλον μὲν οὖν καὶ φύλαξον καὶ σκέπασον αὐτὸν, εἴπερ
rather indeed then also guard and shelter him if-indeed
οὐχ ἔστιν πρὸς ἣν ἢ βασιλέως καὶ ἑτέρων πολλῶν βλάβην.
not he-is toward which or of-emperor and of-others many harm
φυλακτήριον δὲ μὴ βαστάσῃς εἰ μὴ σταυρὸν ἢ εἰκόνα
amulet and not carry if not cross or icon
ἁγίαν ἢ λείψανον ἁγίου. ὀνείροις δὲ μὴ πρόσεχε μήτε μὴν
holy or relic of-a-saint to-dreams and not heed nor indeed
τὸ σύνολον πίστευε, εἰ καὶ θεῖόν ἐστι. καὶ εἰ τοῦτο ποιήσεις,
— at-all believe if even divine it-is and if this you-will-do
ἕξεις τὸ ἀσφαλές. πολλοὶ γὰρ δι᾽ αὐτῶν ἀπώλοντο.
you-will-have the safety many for through them perished
περι τοῦ μὴ ἐγγηθῆναι τινᾶ. 118
about the not to-stand-surety-for anyone
Τινὰ μὴ ἐγγυήσῃ ποτὲ· πολλοὶ γὰρ ἐγγυησάμενοι
anyone not stand-surety-for ever many for having-stood-surety
περιέπεσαν. ἀλλὰ μηδὲ εἰ καὶ σφόδρα φίλος σού ἐστιν
fell(-into-trouble) but not-even if even very friend your he-is

ἐγγυήσῃ αὐτόν, ἀλλὰ ἐὰν ἔχῃς, δὸς αὐτῷ ἐξ ὧν
stand-surety-for him but if you-have give him of what(-things)
χρήζει καὶ τελειοῖς τὴν ἀγάπην. εἰ δὲ καὶ ἐγγυήσῃ καὶ
he-needs and you-complete the love if and also you-stand-surety both
τὸ ἐγγυηθὲν παρέξεις, καὶ τὸν φίλον σου προσαπολέσεις
the guaranteed(-sum) you-will-pay and the friend your you-will-lose-besides
καὶ ὡς ἄφρων τισὶν νομισθήσῃ. τὸν φίλον σου ἀγάπα καὶ
and as fool by-some you-will-be-thought the friend your love and
εἰς πάντα ὄρεγε αὐτῷ χεῖρα, φύλαξον δὲ μὴ σκανδαλίσαι
in all(-things) stretch-out to-him hand guard and not to-offend
αὐτὸν ἕως θανάτου. εἰ δὲ πολλάκις εἴπῃ σοι δηλητήριον
him until death if and often he-tell you poison
πιεῖν ἢ ἄλλο τι φθοροποιόν, δηλονότι ἐάν σοι
to-drink or other something destructive that-is if to-you
συμβουλεύσηται κακόν τι ποιῆσαι, μὴ συναπαχθῇς
he-advise evil something to-do not be-carried-away-with
τῇ βουλῇ αὐτοῦ. εἰ γὰρ θελήσεις ἀνιστορῆσαι, οἱ πλείονες
the counsel his if for you-will-wish to-recount the more
διὰ φίλων ἀγάπην ἀπώλοντο, καὶ οὐ μόνον χρήματα
through of-friends love perished and not only money
καὶ σώματα ἀπώλεσαν, ἀλλὰ καὶ αὐτὰς τὰς ψυχάς.
and bodies lost but even very the souls
119 περι φρονίμου καὶ ὑπηρέτου.
about prudent(-man) and servant
Μέγα ἐστὶν τὸ ἔχειν τινὰ δύναμιν ὑπηρετῶν, δυνατώτερος
great is the to-have some power of-servants more-powerful
δέ ἐστι καὶ μείζων ὁ φρόνιμος, εἰ καὶ πλούτου ἀμοιρεῖ.
and is and greater the prudent(-man) if even of-wealth he-has-no-share
λέγει γάρ τις σοφός· λύτρον ἀνδρὸς ὁ ἴδιος πλοῦτος·
says for some wise(-man) ransom of-man the own wealth
καὶ καλῶς εἶπε. πλὴν ἐγὼ φαίην ὅτι πολλοὶ διὰ
and well he-said but I would-say that many because-of

πλοῦτον ἐπιβουλευθέντες καὶ τὸ ζῆν προσαπώλεσαν. οὐ
wealth plotted-against also the living lost-besides not
ψέγω δὲ τὸν πλοῦτον, ἀλλὰ τὴν φρόνησιν προτιμῶ. διὰ
I-blame and the wealth but the prudence I-prefer through
γὰρ ταύτης Θεοῦ χάριτι ταῦτα ποιοῦμεν· πρῶτον γὰρ
for this of-God by-grace these(-things) we-do first for
διανοούμεθα καὶ οὕτως χερσὶν ἐργαζόμεθα.
we-think and thus with-hands we-work
περὶ ἐχθρὸν οἰκιακὸν του μη ἔχην. 120
about enemy household-member of-the not to-have
Εὔξαι μὴ ἔχειν ἐχθρὸν υἱόν σου ἢ γαμβρὸν ἢ ἀδελφόν.
pray not to-have as-enemy son your or son-in-law or brother
καὶ εἰ μὲν τιμωρήσεις αὐτὸν, πάντες σου καταμέμψονται
and if indeed you-will-punish him all you will-blame
καὶ ὁ Θεὸς αὐτὸς, καὶ σὺ ἑαυτὸν ὕστερον μέμψη
and — God himself and you yourself later you-will-blame
ὑπὸ τῶν σπλάγχνων νικώμενος· εἰ δὲ κακώσει σε,
by the bowels being-overcome if and he-will-maltreat you
βλαβήσει μὲν καὶ σὺ κἀκεῖνος δὲ παρὰ Θεοῦ, καὶ πάλιν
will-be-harmed indeed also you and-that-one and by God and again
λυπηθήσῃ ἐπὶ τῇ ἀπωλείᾳ αὐτοῦ.
you-will-be-grieved at the destruction his
περι θυγατρὸς ἀναισχύντου. 121
about daughter shameless
Θυγάτηρ δὲ ἀναίσχυντος οὐχ αὑτὴν μόνον ἠδίκησεν, ἀλλὰ
daughter and shameless not herself only wronged but
καὶ γονεῖς καὶ τοὺς κατὰ γένος αὐτῇ διαφέροντας. τὰς
also parents and the(-ones) by kin to-her belonging the
θυγατέρας σου ὡς καταδίκους ἔχε ἐγκεκλεισμένας καὶ
daughters your as condemned(-ones) have shut-in and
ἀπροόπτους, ἵνα μὴ ὡς ὑπὸ ἀσπίδος δηχθῆς. τὰ
unseen that not as by asp you-be-bitten the(-things)

ἀναγκαῖα πρῶτον μερίμνησον εἰς τὸν οἶκόν σου, καὶ
necessary first care-for in the house your and
τότε τὰ περισσὰ· εἰ γὰρ πρῶτον τὰ περιττὰ
then the superfluous(-things) if for first the superfluous(-things)
ὠνήσῃ, ἔσχατον πωλήσεις αὐτὰ ἐπιλιπόντων σοι τῶν
you-buy at-last you-will-sell them having-failed you the
ἀναγκαίων καὶ ἀγοράσεις ταῦτα. ἀναγκαῖα δέ εἰσιν ἐν
necessaries and you-will-buy these necessary and are in
οἷς διατρεφόμεθα, περιττὰ δὲ οἷον σκεύη πολύτιμα
which(-things) we-are-maintained superfluous and such-as vessels very-valuable
καὶ στρωμναὶ ἁπαλαὶ καὶ κλῖναι διάχρυσαι καὶ τὰ λοιπά.
and coverlets soft and couches gilded and the rest

IX · BUILDING, PRIESTHOOD, AND THE SOLDIER

A poor man should plant vineyards before he builds. Priestly office, even the patriarchate, is accepted only after a sign from God, and its wealth is spent on orphans, widows, and captives. A sailor makes no soldier. Physicians magnify an illness for their fee. A man should not be arrogant or quick to anger, should fight bravely once enlisted, and should swear no oaths. He watches over his wife and daughters, and a good wife is half a man's life.

122 περι πτωχών λέγω μὴ κτίζειν.
about poor(-men) I-say not to-build
Ἕως εἶ πτωχὸς, μὴ ἐπιχείρει κτίζειν ὧν μετὰ
while you-are poor not attempt to-build what(-things) with
χρέους ἁμαρτήσεις καὶ μεταβληθήσῃ, φύτευε δὲ μᾶλλον
debt you-will-sin and you-will-be-changed plant and rather
ἀμπελῶνας καὶ ἐργάζου τὴν γῆν, ἣ τοὺς καρποὺς αὐτῆς
vineyards and work the land which the fruits its
ἐπιδώσει σοι καὶ ἀλύπως διατραφήσῃ. περισσευθεὶς δὲ
will-yield to-you and without-grief you-will-be-maintained having-abounded and

πάντων ἄρξαι κτίζειν. χρήματα γὰρ δομήσουσιν οἴκους
in-all begin to-build money for will-build houses
καὶ ὑπὲρ αὐτὰ ὁ Θεός. τέχνην πολυκερδῆ προξενοῦσάν
and above them — God craft much-gaining procuring
σοι ἀχρειωσύνην εἴτε κίνδυνον μὴ μετέλθῃς, εἰ καὶ
for-you uselessness or danger not pursue if even
σφόδρα εἶ ἔμπειρος αὐτῆς, οἷον παραχαράσσειν καὶ
very you-are experienced in-it such-as to-counterfeit and
ψαλίζειν τὰ νομίσματα καὶ φαρσογραφεῖν καὶ βουλὰς
to-clip the coins and to-forge-documents and wills
ἐπισφραγίζειν καὶ τὰ τούτοις ὅμοια.
to-seal and the(-things) to-these like
περι ἱεροσύνης. 123
about priesthood
Σὺν τούτοις καὶ τοῦτό σοι παραγγέλλω· ἐὰν ἔλθῃς εἰς
with these also this to-you I-enjoin if you-come to
ἱερατικὸν τάγμα τυχὸν μητροπολίτης ἢ ἐπίσκοπος γενέσθαι,
priestly rank perhaps metropolitan or bishop to-become
μὴ ἀναδέξῃ αὐτό ἕως ἂν διὰ νηστείας καὶ ἀγρυπνίας
not accept it until — through fasting and vigil
ἀποκαλυφθήσῃ ἄνωθεν καὶ λάβῃς τελείαν πληροφορίαν
you-will-be-shown-revelation from-above and you-take full assurance
ἀπὸ τοῦ Θεοῦ. καὶ εἰ ἐμβραδύνει ἡ θεοφάνεια, θάρσει
from — God and if delays the divine-manifestation take-courage
καὶ ἐπίμεινον καὶ ταπείνωσον σεαυτὸν ἐνώπιον τοῦ
and persevere and humble yourself before —
Θεοῦ καὶ ὄψει, μόνον ὁ βίος σου ἔστω καθαρὸς
God and you-will-see only the life your let-be pure
καὶ ἀνώτερος τῶν κωλυόντων παθῶν. καὶ τί λέγω
and above the hindering passions and why do-I-say
μητροπολίτην; εἰς πατριαρχικὸν θρόνον ἐὰν προκριθῇς
metropolitan to patriarchal throne if you-are-preferred

καθεσθῆναι, χωρὶς θείας ὄψεως μὴ τολμήσῃς ἐγχειρισθῆναι
to-be-seated without divine vision not dare to-be-entrusted-with
τοὺς τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας οἴακας. τυχὼν δὲ
the of-the holy — of-God church helms having-attained and
τούτου μὴ γίνου ἔνδοξος ὑπὸ δορυφόρων ὀψικευόμενος καὶ
this not become glorious by guardsmen escorted and
χρήματα σωρεύων, χρυσοῦ καὶ ἀργύρου ἐπιμελούμενος καὶ
money heaping-up of-gold and silver caring-for and
δείπνων πολυτελῶν, ἀλλ᾽ ἔστω ἡ ἐπιμέλειά σου εἰς τὸ
dinners costly but let-be the care your for the
ὀρφανοτροφεῖν καὶ χῆρας τρέφειν καὶ εἰς νοσοκομεῖα καὶ
caring-for-orphans and widows to-nourish and for hospitals and
ἀνάρρυσιν αἰχμαλώτων καὶ εἰς τὸ εἰρηνεύειν καὶ ἀδυνάτων
redemption of-captives and for the making-peace and of-the-powerless
προΐστασθαι, καὶ μὴ εἰς τὸ συνάπτειν οἰκίαν· πρὸς οἰκίαν
to-stand-before and not for the joining house to house
καὶ ἀγρὸν πρὸς ἀγρὸν ἐγγίζειν καὶ τὰ τοῦ πλησίον
and field to field to-bring-near and the(-things) of-the neighbor
ἀφελεῖν, προφασιζόμενος ὡς· οὐ τοῖς παισί μου· ταῦτα
to-take-away pretending that not to-the children my these(-things)
προσφέρω, ἀλλὰ τῷ Θεῷ καὶ τῇ ἐκκλησίᾳ μου. εἶδον
I-offer but — to-God and to-the church my I-saw
γὰρ ἄλλους ἀρχιερεῖς τοιαῦτα λέγοντας καὶ ἐθαύμασα
for other high-priests such(-things) saying and I-marveled-at
τοῦ διαβόλου τὰς πανουργίας, πῶς ἡμᾶς ἀπατᾷ ἐκ
of-the devil the villainies how us he-deceives from
τῶν δοκούντων εἶναι εὐσεβῶν. ἐρῶ γάρ σοι· ὁ ἅγιος
the(-ones) seeming to-be pious I-will-say for to-you the holy
Νικόλαος καὶ ὁ ἅγιος Βασίλειος καὶ οἱ λοιποὶ ἕως ἂν ἐν
Nicholas and the holy Basil and the rest while — in
τῷ κόσμῳ ἐβίουν τὰ ἴδια τοῖς πένησι διένειμον καὶ
the world they-lived the(-things) own to-the poor distributed and

ἀκτημοσύνην ἐδίδαξαν, νῦν δὲ ὁπόταν τὴν τῶν οὐρανῶν
poverty taught now and when the of-the heavens
βασιλείαν κατέλαβον, τότε χρήζουσιν ἁρπαγῆς πτωχῶν;
kingdom they-attained then do-they-need robbery of-poor(-men)
μὴ γένοιτο. ὅτι δὲ εἶπόν σοι δεηθῆναι τοῦ Θεοῦ ἵνα
not may-it-be that and I-told you to-pray-to — God that
ἀξιωθῇς θείας ὄψεως προτρεπομένης ἱερατεύειν σε,
you-be-deemed-worthy-of divine vision exhorting to-be-priest you
καὶ πρόσεχε ἵνα μὴ ἀντὶ θείου ἀγγέλου ἄγγελον πονηρὸν
also take-heed that not instead-of divine angel angel evil
θεάσῃ. ὅμως δίελθε τὸν μακάριον Κασιανὸν καὶ γνώσῃ
you-behold nevertheless go-through the blessed Cassian and you-will-know
τί ἔπαθεν, ὡσαύτως καὶ ὁ θαυμαστὸς Ἥρων καὶ ὁ
what he-suffered likewise also the wondrous Heron and the
Μεσοποταμηνὸς καὶ ἄλλοι πολλοὶ ἀσκηταί. εἰς ἄκρον δὲ
Mesopotamian and others many ascetics to the-utmost and
εὐλαβοῦ τὰ θεῖα. ἄκουε δὲ καὶ τοῦ μακαρίου Γρηγορίου
revere the divine(-things) hear and also the blessed Gregory
λέγοντος· ἀγαθὸν ὑποχωρῆσαι μικρόν τι Θεῷ ὡς
saying good to-withdraw a-little something to-God as
Μωϋσῆς ἐκεῖνος τὸ παλαιὸν καὶ Ἱερεμίας ὕστερον, καὶ,
Moses that the old and Jeremiah later and
φησὶ, προσδραμεῖν ἑτοίμως καλοῦντι ὡς Ἀαρών τε καὶ
he-says to-run-forward readily to-the-one-calling as Aaron both and
Ἡσαΐας· μόνον εὐσεβῶς ἀμφότερα, τὸ μὲν διὰ τὴν
Isaiah only piously both the(-one) indeed because-of the
οἰκείαν ἀσθένειαν, τὸ δὲ διὰ τὴν τοῦ καλοῦντος
own weakness the(-other) and because-of the of-the(-one) calling
δύναμιν. ἡ μελέτη σου ἔστω νυκτὸς καὶ ἡμέρας εἰς τὰ
power the study your let-be by-night and by-day on the
θεῖα καὶ εἰς τὸ ἀναπαῦσαι πτωχοὺς καὶ πλουσίους.
divine(-things) and on the to-give-rest-to poor and rich

123b περι συνγενῶν.
about kinsmen

Τῶν συγγενῶν σου μὴ ἐπιλάθῃ καὶ ἐπιλησθήσῃ παρὰ τοῦ
the kinsmen your not forget and you-will-be-forgotten by —
Θεοῦ. καὶ τί θέλεις λέγειν πολλά; γενοῦ τοῖς πᾶσι τὰ
God and why do-you-wish to-say much(-things) become to-the all the
πάντα καὶ ὁ Θεὸς ἀνταποδώσει σοι. εἰ δ' ἄλλην τινὰ
all(-things) and — God will-repay you if and other some
ἐπιστήμην μετέρχῃ, σπούδασον ὅπως εἰς ἄκρον ταύτην
knowledge you-pursue strive that to the-utmost it
ἐκμάθῃς καὶ μὴ εἶ ἐλλιπὴς αὐτῆς. εἰ δύνασαι δὲ πασῶν
you-learn-thoroughly and not be deficient in-it if you-can and of-all
τῶν ἐπιστημῶν ἐν πείρᾳ γενέσθαι, γενοῦ, πλὴν μὴ ἐάσῃς τὴν
the sciences in experience to-become become but not leave the
ἐπιστήμην ἣν ἐξ ἀρχῆς εἶχες καὶ εἰς ἑτέραν μεταπέσῃς, εἰ
knowledge which from beginning you-had and to another fall-over if
οὐκ ἔστιν αἰσχρὰ ἢ ἐπιβλαβὴς· οὐ γὰρ λυσιτελές σοι ἔσται.
not it-is shameful or harmful not for profitable for-you it-will-be
124 περὶ ναύτου του μὴ ἦναι στρατιῶτης,
about sailor of-the not to-be soldier

ὁ γὰρ ναύτης οὐ δύναται γενέσθαι στρατιώτης, ὅθεν
the for sailor not can become soldier whence
στρατιώτης γενόμενος ἀπώλετο, οὐδὲ ὁ νοτάριος χαλκεύς,
soldier having-become he-perished nor the notary smith
καὶ οὕτως καθεξῆς. εἰ δὲ καί τις οὕτως μεταπεσὼν
and thus in-order if and even someone thus having-changed
ηὐδοκίμησεν, ἀλλὰ σπανίως. ναύτῃ δὲ, λέγω σοι, μὴ
was-esteemed yet rarely to-sailor and I-say to-you not
δώσῃς ἵππον ἐποχεῖσθαι· οὐ γὰρ ἐπιμελήσεται αὐτοῦ. τὸ
give horse to-ride not for he-will-take-care-of it the

γὰρ πλοῖον οὔτε ἐσθίει οὔτε πίνει, καὶ νομίζει ὅτι καὶ
for ship neither eats nor drinks and he-thinks that also
ὁ ἵππος ὡς τὸ πλοῖον ὑπουργήσῃ.
the horse like the ship will-serve
περὶ του μὴ εμπεσὶν εἰς χεῖρας ἰὰτροῦ. 125
about the not to-fall into hands of-physician
Εὔχου μὴ ἐμπεσεῖν σε εἰς χεῖρας ἰατροῦ, εἰ καὶ σφόδρα
pray not to-fall you into hands of-physician if even very
ἐστὶν ἐπιστήμων· εἴπῃ γάρ σοι τὰ μὴ δέοντα. καὶ
he-is skilled he-will-tell for to-you the(-things) not needful and
εἰ ἔστιν ἡ ἀρρωστία σου μικρὰ, μεγαλύνει αὐτὴν ὑπέρογκα
if is the sickness your small he-magnifies it exceedingly
καὶ, πολλοῦ, εἴπῃ, τιμήματος βοτανῶν χρεία σοί ἐστιν·
and of-much he-tells price of-herbs need to-you is
πλὴν ἐγώ σε ἰάσομαι. λαβὼν δὲ παρὰ σοῦ νομίσματα, οὐχ
but I you will-heal having-taken and from you coins not
ἐξικανοῖ, φησὶ, τοῦτο εἰς ἀγοράν. εἶτα καὶ ἄλλα ἔλαβεν.
suffices he-says this for marketing then also other(-coins) he-took
θέλων σε δὲ τρυγᾶν εἴπῃ σοι φαγεῖν ὅπερ ἐστὶν ἐναντίον
wishing you and to-milk he-tells you to-eat what is contrary-to
τῆς ἀρρωστίας καὶ ἐξάψει μᾶλλον τὴν ἀρρωστίαν. καὶ
the sickness and he-will-kindle rather the sickness and
πάλιν ἐπιμελήσεται καὶ αὖθις ἐπιτενεῖ τὸ ἄλγος. καὶ
again will-tend(-you) and again will-intensify the pain and
οὕτως πολλάκις ποιήσας λάβῃ παρὰ σοῦ ἃ χρήζει
thus often having-done he-takes from you what(-things) he-needs
καὶ μόλις ποτὲ ἐπιμελήσεται. εἴπερ οὖν οὐ θέλῃς ἐμπεσεῖν
and hardly ever he-will-tend(-you) if-indeed then not you-wish to-fall
εἰς χεῖρας ἰατρῶν, φαγὼν ἀρίστῳ εἰς κόρον, ἀπέχου
into hands of-physicians having-eaten at-breakfast to satiety abstain
δείπνων, καὶ οὐχ ὀχλήσει σε ὕλη ἐγκειμένη τῷ στομάχῳ
from-dinners and not will-trouble you matter lying in-the stomach

σου. ἀλλὰ καὶ εἰ ἐπέλθῃ σοι ἀρρωστία, νήστευσον καὶ
your but even if comes to-you sickness fast and
ἰαθήσῃ χωρὶς ἰατροῦ. σκόπει δὲ πόθεν ἡ ἀρρωστία
you-will-be-healed without physician look and whence the sickness
σοι προσέβαλεν· εἰ μὲν ἀπὸ ψύχους, θέρμανον σεαυτὸν,
on-you fell if indeed from cold warm yourself
εἰ δ' ἀπὸ γαστριμαργίας, ἐγκρατεύθητι, εἰ δ' ἀπὸ κόπου
if and from gluttony be-abstinent if and from toil
εἴτε ἡλίου, ἀναπαύθητι, καὶ ἔσῃ, μετὰ Θεὸν, ἑαυτὸν
or sun rest and you-will-be after God yourself
ἰώμενος. ἔμπλαστρον δὲ μηδέποτε ἐπιθήσῃς τῇ κοιλίᾳ
healing plaster and never put on-the belly
σου· θεὶς γὰρ τὸ ἔμπλαστρον, ἴσως ὠφελήσει σε πρὸς
your having-put for the plaster perhaps it-will-help you for
τρεῖς ἢ τέσσαρας ἡμέρας ἢ καὶ ἑβδομάδα, καὶ ἔκτοτε
three or four days or even a-week and thenceforth
μᾶλλον οὐχ ἀγαθόν σοι ἔσται. βοήθημα δὲ ἢ ἀντίδοτον
rather not good for-you it-will-be remedy and or antidote
ἢ ποτὸν οἰονδηποτοῦν μὴ πίῃς. πολλοὺς γὰρ εἶδον ἐκ
or drink of-any-kind not drink many for I-saw from
ποτῶν ἀποθανόντας, οἳ καὶ ἰδιοθάνατοι ἐλογίσθησαν. εἰ δὲ
drinks having-died who also suicides were-reckoned if and
θέλεις ποιεῖν ἵνα σε ὠφελήσει εἰς τὸν στόμαχόν σου, πίε
you-wish to-do that you it-will-help for the stomach your drink
ἀψίνθιον. εἰ δὲ τὸ ἧπάρ σου πάσχεις, πίε ῥέον ἰνδικόν,
wormwood if and the liver your you-suffer drink rhubarb Indian
πλεῖον δὲ τούτου μηδέν. πάνυ γάρ εἰσι βλαβεροὶ οἱ ποτοὶ,
more and than-this nothing very for are harmful the drinks
μᾶλλον δὲ εἰς τοὺς νέους. φλεβοτόμει δὲ ἐκ τρίτου,
rather and for the young bleed and from third

Φευρουαρίῳ Μαίῳ καὶ Σεπτεμβρίῳ, ἄκριζε, καὶ πλέον
in-February May and September sparingly and more
μηδέν. εἰ δ᾽ ἀρρωστία κατεπείγει, πᾶς καιρὸς ἐπιτήδης.
nothing if and sickness presses every time fitting
τοὺς υἱούς σου καὶ τὰς θυγατέρας σου μάστιζε μὴ ῥάβδῳ,
the sons your and the daughters your scourge not with-rod
ἀλλὰ λόγῳ, καὶ οὐ μὴ μαστιγωθήσονται παρ᾽ ἑτέρου. μέγα
but with-word and not — they-will-be-scourged by another great
ἐστὶν τὸ στοχάζεσθαι καὶ κατανοεῖν τὴν φύσιν τῶν ὄντων
is the to-conjecture and to-understand the nature of-the beings
καὶ πράττειν τὰ δέοντα. τινὲς θαυμαστὰ βουλευσάμενοι
and to-do the(-things) needful some wondrous(-things) having-planned
ἠστόχησαν, ἕτεροι δὲ ἀσκόπως καὶ ἀσυνέτως μεγάλων
missed others and aimlessly and senselessly great(-things)
ἐπέτυχον· ὅθεν οὐ χρὴ τὴν εὐτυχίαν αὐτῶν ἐπαινεῖν
attained whence not it-is-needful the success their to-praise
ἢ ψέγειν τὴν ἀτυχίαν, ἀλλὰ τὸν σκοπὸν καὶ τὴν πρᾶξιν.
or to-blame the misfortune but the aim and the action
περὶ του μὴ ὑπεριφανέβεσθαι. 126
about the not to-be-arrogant
Τέκνον, μὴ ὑπερηφανεύου, εἰ καὶ μεγάλα κατορθώσεις,
child not be-arrogant if even great(-things) you-will-achieve
ἀλλὰ μνήσθητι τοῦ εἰπόντος· ἀκάθαρτος παρὰ Κυρίῳ
but remember the(-one) having-said unclean before (the)-Lord
πᾶς ὑψηλόφρων, καὶ τὸ· Κύριος ὑπερηφάνοις
every high-minded(-man) and the(-word) (the)-Lord (the)-arrogant
ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν. ὥστε ὁ μὲν
opposes to-the-humble and gives grace so-that the indeed
κλέπτης ἔχει πρὸς τὸν κύριον τοῦ πράγματος καὶ ὁ
thief has toward the owner of-the thing and the

μοιχὸς ἀντιτάσσεται τῷ ἀνδρὶ τῆς μοιχευθείσης, ὁ δὲ
adulterer is-opposed-by the husband of-the adulteress the and
ὑπερήφανος τὸν Θεὸν ἔχει ἀντιτασσόμενον.
arrogant(-man) — God has opposing
127 περὶ τοῦ ἀγωνίζειν εἰς πόλεμον.
about the to-strive in war
Στρατευθεὶς ἀνδρίζου εἰς πόλεμον, εἰ καὶ ἀποθανεῖν
having-enlisted play-the-man in war if even to-die
μέλλεις. μνήσθητι ὅτι διὰ τοῦτο ἐστρατεύθης καὶ
you-are-about remember that because-of this you-enlisted and
οὐδεὶς ἀθάνατος. φεῦγε δὲ ἀπὸ καπηλοπολέμου· τρωθεὶς
no-one immortal flee and from tavern-war wounded
γὰρ θανήσῃ καὶ μετὰ θάνατον ὄνειδος ἔσῃ. ἔνθα οὐ
for you-will-die and after death reproach you-will-be where not
κερδαίνεις οὔτε ψυχικῶς οὔτε σωματικῶς, μὴ κοπία. τὰ
you-gain neither in-soul nor in-body not toil the
μυστικά σου ἐὰν θέλῃς μὴ ἐκφαυλισθῆναι, δι' αὐτοῦ
secrets your if you-wish not to-be-debased through yourself
γράφε καὶ μὴ διὰ τοῦ νοταρίου σου.
write and not through the notary your
128 περὶ ἀρετῆς καὶ ἔργου.
about virtue and deed
Σπούδαξε διὰ τῶν ἔργων τῆς ἀρετῆς σου αἰδεσίμους καὶ
strive through the deeds of-the virtue your venerable and
περιφανεῖς ἀποδεῖξαι τοὺς γονεῖς σου. ὁ ὑποκρινόμενος
illustrious to-show the parents your the(-one) feigning
ἐκθειάζειν σε, ψέγων δὲ τὸν πατέρα σου, σὲ αὐτὸν ἀτιμάζει·
to-deify you blaming and the father your you yourself dishonors
ὁ γὰρ λέων λέοντα γεννᾷ καὶ ἡ ἀλώπηξ ἀλώπεκα.
the for lion lion begets and the fox fox
φύλαττε σεαυτὸν ὁπόταν μετὰ γυναικὸς ὁμιλῇς, εἰ καὶ
guard yourself whenever with woman you-converse if even

τῶν κοσμίων δοκεῖ εἶναι, καὶ μὴ γίνου αὐτῇ συνήθης·
of-the modest(-ones) she-seems to-be and not become with-her familiar
οὐχ ἐκφεύξῃ γὰρ τὰ θήρατρα αὐτῆς. οἱ ὀφθαλμοί σου
not you-will-escape for the snares her the eyes your
γὰρ παρατραπήσονται καὶ ἡ καρδία σου σαλευθήσεται
for will-be-turned-aside and the heart your will-be-shaken
καὶ οὐχ εἰς ἑαυτὸν ἔσῃ. ἐκ τριῶν γὰρ πολεμηθήσῃ
and not in yourself you-will-be from three for you-will-be-warred-on
ἀπὸ τοῦ διαβόλου, ἀπὸ τῆς ὄψεως καὶ τῶν λόγων αὐτῆς
from the devil from the sight and the words her
καὶ ἀπὸ τῆς φύσεως. μέγα γάρ ἐστι νικῆσαι ταύτην.
and from the nature great for it-is to-conquer this
περι τοῦ μῆ ἐξηθυμούσθαι 129
about the not to-be-angered
Οἱ μεγάλως θυμούμενοι μεγάλοις ἐγκλήμασι
the(-ones) greatly being-angered into-great charges
περιπίπτουσιν· οὐχ αἰσθάνονται γὰρ τί πράττουσιν. ἐπιθυμίᾳ
fall not they-perceive for what they-do by-desire
δέ τινες ἑλκόμενοι ὀλισθήσαντες εἰς βάραθρον κατεβλήθησαν.
and some dragged having-slipped into pit were-cast-down
σὺ δὲ μὴ τῶν ἐνηδόνων, ἀλλὰ τῶν ἐπαινετῶν καὶ μνήμης
you and not the pleasant(-things) but the praiseworthy and of-memory
ἀξίων ἐπιθύμει· εἰ γὰρ καὶ ἐπίπονα δοκεῖ εἶναι, ἀλλ' εἰς
worthy desire if for even toilsome they-seem to-be yet for
μακρὰν εὐθηνήσει, κἂν τε σωματικὰ κἂν τε ψυχικὰ εἶεν.
long they-will-prosper whether — bodily whether — spiritual they-be
θάρσει, οὐδὲν ἀγαθὸν χωρὶς πόνου· ἐξ ἀκανθῶν ῥόδα καὶ
take-courage nothing good without toil from thorns roses and
ἐξ ἱδρώτων τὰ κρείττονα. ἀνακείμενος ἐν κλίνῃ ἀνιστόρει
from sweats the better(-things) lying on bed recount
τὰ παρελθόντα καὶ ἐξ αὐτῶν διδάσκου τὰ μέλλοντα.
the past(-things) and from them learn the(-things) to-come

ταῦτα γὰρ οὐχ ἀσύνετοι, ἀλλὰ σοφοὶ καὶ ἐπιστήμονες
these for not senseless but wise and knowing
μελετήσουσι. ἄφρων δὲ πρὸς ἃ κέχηνε σκοπῶν, ποῦ
will-study (the)-fool and at what he-gapes looking where
δειπνᾷ καὶ κύμβαλα, ἐπιλιπόντων δὲ αὐτὸν τῶν ἀνάγκαίων
he-dines and cymbals having-failed and him the necessaries
πορεύεται κατηφὴς ὡς ὁ μονογενῆ παῖδα ἀποβαλόμενος.
goes downcast as the(-one) only-begotten child having-lost
ποῦφλον δὲ πᾶσαν μηχανὴν μετελθὼν λαβεῖν τι ἀπὸ
(the)-fop and every device having-pursued to-take something from
σοῦ, καὶ εἰ οὐ λάβῃ, ὄνειρον πλάσει ἀγαθὰ προξενοῦν
you and if not he-takes a-dream will-fabricate good(-things) procuring
πολλὰ καὶ τοῖς λόγοις σε καταθέλξας ἐκ τοῦ κόλπου
many and with-the words you having-charmed from the bosom
σου ὡς μετὰ ἀγκίστρου ἀνασπάσει τὸ χρυσίον, καὶ μακρὰν
your as with hook will-draw-up the gold and far
ἀποστὰς ἀπὸ σοῦ μέγα ἐπεγκαυχήσεται καταγινώσκων σου.
having-stood-off from you greatly will-boast condemning you
περι σοφῶν καὶ αφρόνων.
about wise and fools

Πρόσεχε τοῖς ἔργοις τῶν σοφῶν καὶ τῶν ἀφρόνων, ἀφ᾽
heed the deeds of-the wise and of-the fools from
ὧν τε οὗτοι ἐποίησαν καὶ ἐξ ὧν ἔπαθον. φύλαξον
what(-things) both these did and from what(-things) they-suffered guard
μὴ ὀμόσαι ὅλως μήτε δικαίως μήτε ἀδίκως, εἰ καὶ τὰ
not to-swear at-all neither justly nor unjustly if even the
μέγιστα βλαβῆναι μέλλεις. καὶ εἰ μὲν δικαίως ὀμόσεις,
greatest(-things) to-be-harmed you-are-about and if indeed justly you-will-swear
κατεφρόνησας καὶ παρέβης τὸν εἰπόντα μὴ ὀμόσαι ὅλως,
you-despised and transgressed the(-one) having-said not to-swear at-all
εἰ δὲ ἀδίκως, θάνατός σε καὶ ἀπώλεια λήψεται. μακάριος δὲ
if and unjustly death you and destruction will-take blessed and

ὃς οὐχ ὤμοσε. μὴ εἴπῃς ὅτι· ἐλεήμων καὶ εὔσπλαγχνός ἐστιν
who not swore not say that merciful and compassionate is
ὁ Θεὸς, καὶ εἰ ὀμόσω, συμπαθήσῃ με. ἐρῶ γάρ σοι
— God and if I-swear be-will-sympathize-with me I-will-say for to-you
ὅτι καὶ δίκαιός ἐστιν. οἱ γὰρ ἐκπεσόντες καὶ ἀπωλείᾳ
that also just he-is the(-ones) for having-fallen-away and to-destruction
παραδοθέντες ταῦτα λέγοντες ἀπώλοντο. μὴ ἀποστῇς ἀπὸ
delivered these(-things) saying perished not stand-off from
Θεοῦ καὶ οὐ μὴ ἀποστῇ ὁ Θεὸς ἀπὸ σοῦ. μὴ ἀτιμάσῃς
God and not — will-stand-off — God from you not dishonor
τοὺς γεγεννηκότας σε δι' αἰσχρῶν πράξεων· πάντως
the(-ones) having-begotten you through shameful deeds surely
γὰρ καὶ οἵ σε γεννήσαντες τοιοῦτοι νομισθήσονται.
for also the(-ones) you having-begotten such will-be-thought
περι τοῦ ἔχειν ἀκρίβιαν εἰς τὴν ἰδίαν γηναίκα. 131
about the to-have exactness toward the own wife
Μέγα ἐστὶν τὸ ἔχειν τινὰ δοῦλον ἢ ἐλεύθερον πιστόν. καὶ εἰ
great is the to-have some slave or free(-man) faithful and if
ἔχεις αὐτὸν καὶ ἐνεπίστευσας αὐτῷ, τὴν δὲ θυγατέρα σου
you-have him and entrusted to-him the and daughter your
εἰς δυνατὸν μηδὲ γνωρίζῃ, καὶ ἔξεις τὸ ἀσφαλές. εἰ
as-far-as possible not-even let-him-know and you-will-have the safety if
γὰρ ψόγος λαληθῇ, κἂν τε ψευδὴς ἐστι κἂν τε ἀληθὴς,
for blame be-spoken whether — false it-is whether — true
οὐ γινώσκεις, ὕποπτον δέ σοι γενήσεται καὶ τὸ βρέφος, εἰ
not you-know suspect and to-you will-become also the babe if
καὶ ἐκ τῆς σῆς ὀσφύος ἐστὶ, καὶ οὐαὶ τότε. μὴ ἐμπιστεύσῃς
even from the your loins it-is and woe then not entrust
τινὶ λόγον ὃς προξενεῖ σοι κίνδυνον, εἰ καὶ ἀρετῇ
to-anyone word which procures for-you danger if even in-virtue
διαλάμπῃ· ἡ γὰρ φύσις τῶν ἀνθρώπων ῥευστή ἐστι καὶ
he-shine the for nature of-the men fluid is and

τρεπτὴ καὶ ποτὲ μὲν τρέπεται ἐκ τοῦ ἀγαθοῦ εἰς τὸ
changeable and sometimes indeed it-turns from the good to the
κακὸν, ποτὲ δὲ ἐκκλίνει ἐκ τοῦ κακοῦ εἰς τὸ ἀγαθόν.
evil sometimes and it-turns-aside from the evil to the good
ὁ δὲ θάψας τὴν γυναῖκα αὐτοῦ τὸ ἥμισυ εἴτε καὶ τὸ
the(-one) and having-buried the wife his the half or also the
πλεῖον τῆς ζωῆς αὐτοῦ συναπώλεσεν, εἴπερ ἀγαθή ἐστιν.
more of-the life his has-lost-with(-her) if-indeed good she-is
132 περι ἀνδρὸς σώφρονος.
about man prudent
καὶ εἰ μὲν σωφρονήσει, μέγας ἔσται παρά τε Θεῷ καὶ
and if indeed he-will-be-sober great he-will-be with both God and
ἀνθρώποις· αὐτὸς μὲν ἐν ἀδείᾳ πολλῇ καὶ εὐφροσύνῃ διάξει,
men he indeed in freedom much and gladness will-live
τοὺς παῖδας ἐκτρέφων καλῶς, οἱ δὲ παῖδες αὐτοῦ ὡς ἐπὶ
the children rearing well the and children his as on
ὀχήματος ἐποχηθήσονται, καὶ ἡ οἰκία αὐτοῦ ἐν εἰρηνικῇ
carriage will-be-carried and the house his in peaceful
καταστάσει ἔσται· εἰ δὲ οἴστρῳ ἀκολασίας περιπαρῇ, μᾶλλον
state will-be if and by-gadfly of-licentiousness he-be-pierced rather
ἐὰν δοκεῖ σώφρων εἶναι, εἰσερχόμενος καὶ ἐξερχόμενος τῆς
if he-seems prudent to-be entering and going-out of-the
οἰκίας δακρύει, τῆς μακαρίας δῆθεν ἐπιμνησκόμενος, καὶ
house he-weeps the blessed(-wife) forsooth remembering and
τὴν τοῦ οἴκου ἀμέλειαν καὶ τὴν τῶν παίδων κακουχίαν
the of-the house neglect and the of-the children ill-treatment
προβάλλεται, οἰκειώσεται δὲ γυναῖκας αἳ εἰς τὸ
he-puts-forward he-will-make-intimates and women who in the
προξενεῖν πεῖραν ἔχουσιν, ἃς κουρκουσούρας καλοῦσι,
procuring experience have whom kourkousourai they-call
τραπέζης ταύτας ἀξιώσει καὶ τὰς ἀτίμους τιμήσει
of-table these he-will-deem-worthy and the dishonorable(-women) will-honor

ὁ δείλαιος. καὶ δοὺς αὐταῖς ὧν χρήζουσι, πέμπει
the wretch and having-given to-them what(-things) they-need sends(-them)
ἐπαγγελλόμενος μεγάλα, εἰ προξενήσουσιν αὐτῷ γυναῖκα
promising great(-things) if they-will-procure for-him wife
καλήν. αἱ δὲ τὴν κρείττονα ἐπαγγέλλονται, προμεμισθωμέναι
fine they and the better promise hired-beforehand
δὲ οὖσαι παρὰ γυναικὸς εἰς τοῦτο, ἀπελθοῦσαι πρὸς αὐτὴν,
and being by woman for this having-gone to her
εὕρομέν σοι, φησὶν, οἱόν ἤθελες, ἀπόλαυσον τῶν ἀγαθῶν
we-found for-you she-says such-as you-wished enjoy the goods
αὐτοῦ. εἶτα ἐπὶ τὸν ἄθλιον ἀναστρέφουσι μεγαλύνοντες αὐτήν.
his then to the wretch they-return magnifying her
καὶ καταθέλξασαι αὐτοῦ τὰ ὦτα καὶ τὸ καθ' ἡμέραν
and having-charmed his the ears and the(-thing) by day
αὐτῇ τε καὶ τούτῳ πρὸς χάριν ὁμιλοῦσαι καὶ ἀπολαύσασαι
to-her both and to-him for favor talking and having-enjoyed
ἀμφοτέρων τῶν ἀγαθῶν πείθουσιν αὐτόν. εἰώθασι γὰρ
of-both the goods persuade him are-wont for
οἱ οἴστρῳ περιπαρέντες ἐξ ἀκοῆς ὀλισθαίνειν. εἶτα
the(-ones) by-gadfly pierced from hearing to-slip then
ἔλαβεν αὐτὴν, ἠμελήθησαν δὲ αὐτοῦ οἱ παῖδες. ἐκείνη δὲ
he-took her were-neglected and his the children she and
εἰς ἄλλους κέχηνεν ὑποτάξαι τοῦτον ἐφιεμένη, μαγεύσασα
at others gapes to-subject him desiring having-bewitched
δὲ ἄλλον ἀντ' ἄλλου ἐποίησε καὶ ἀπώλεσεν. εἰ δὲ
and other for other she-made(-him) and destroyed(-him) if and
τῶν χρησίμων ἐστὶν ἐκείνη, ἐπ' εὐνῆς ἀνακειμένη καὶ τοῦ
of-the good(-ones) is that on bed lying and of-the
παρθενικοῦ αὐτῆς ἀνδρὸς ἐπιμνησθεῖσα μέγα ἐστέναξε,
maiden her husband remembering greatly groaned
κἀκεῖνος ἴσως τῆς στεφανικῆς αὐτοῦ ἐνθυμηθεὶς ἐδάκρυσε,
and-that-one perhaps of-the crowned(-wife) his having-thought-of wept

καὶ γέγονεν ἡ εὐνὴ πένθος. εἰ δὲ καὶ ἀμφότεροι παῖδας
and became the bed mourning if and also both children
ἔχοιεν, τί χεῖρον γένοιτ᾽ ἂν; ἔρις καὶ μάχαι ἀπὸ πρωΐας
should-have what worse could-happen — strife and battles from morning
ἕως ἑσπέρας, ἔχθρα ἄσπονδος καὶ ταραχὴ καθημερινή.
until evening enmity implacable and turmoil daily
καὶ οὓς ποτε ἐπόθει ὁ πατὴρ φιλοστόργως καὶ ὁρῶν
and whom once longed-for the father affectionately and seeing
ἐτέρπετο νῦν γυναικὶ ἡττηθεὶς ὡς ἐχθροὺς ἔχει, οὐ φέρω,
delighted-in now by-woman overcome as enemies he-has not I-bear
λέγων, δι᾽ ὑμᾶς ταράσσεσθαι. εἶχον δέ σοι εἰς τοῦτο
saying because-of you to-be-troubled I-had and to-you on this
εἰπεῖν πολλά, ἀλλ᾽ ἀρκεῖ, εἴπερ οὐχ ἐθελοκωφεῖν ἐθέλεις.
to-say much but it-suffices if-indeed not to-feign-deafness you-wish
τοῦτο δὲ μόνον λέγω· μακάριος ὁ φυλάσσων ταῦτα.
this and only I-say blessed the(-one) keeping these(-things)
133 περὶ του ἔχειν παντίαν προσωχὴν.
about the to-have all heed
Παραγγέλλω δέ σοι καὶ τοῦτο ὅτι εἰ καὶ ἐν οἰκίᾳ
I-enjoin and to-you also this that if even in house
ἰδιάζεις, ὑποτάσσεται δέ σοι ὁ λαὸς τῆς χώρας,
you-live-privately is-subject and to-you the people of-the land
φύλασσε ἵνα μὴ ἀναισχυντήσῃ ὁ λαὸς κατὰ σοῦ εἴτε
guard that not be-shameless the people against you either
δικαίως εἴτε ἀδίκως καὶ βλαβήσῃ τὰ μέγιστα ψυχικῶς
justly or unjustly and you-will-be-harmed the greatest(-things) in-soul
τε καὶ σωματικῶς. συμβαίνει δὲ τοῦτο καὶ ἀπ᾽ ἄκρας
both and in-body happens and this also from highest
δικαιοσύνης· δίκαιος γὰρ ὢν ἄδικον ἢ αἰσχρὸν οὐ φέρεις
justice just for being unjust or shameful not you-bear
βλέπειν πραττόμενον, νυσσόμενος δὲ ὑπὸ τῆς ἀγαθῆς ταύτης
to-see being-done being-pricked and by the good this

ἀρετῆς ὀργίζῃ μετὰ δικαίου θυμοῦ καὶ ἀμύνῃ ἀξίως
virtue you-are-angered with just wrath and you-punish worthily
τοὺς ἁμαρτάνοντας. ποιήσας δὲ τοῦτο εἰς πάντας τοὺς
the(-ones) sinning having-done and this to all the(-ones)
ἁμαρτήσαντας ἤχθρανας αὐτοὺς καὶ τοὺς ὁμόφρονας
having-sinned you-made-enemies them and the(-ones) like-minded
αὐτῶν καὶ μελετήσαντες κατὰ σοῦ ἐπανέστησάν σοι.
their and having-plotted against you they-rose-up against-you

X · MERCY, OFFICE, AND THE FAMILY

A master should punish one offender in a hundred and leave the rest unpunished. He should forgive those who plot against him, place his strength in God rather than money, and never buy an office, since the buyer makes good what he paid. Kekaumenos warns his sons against soothsayers, against loving any man so much that his loss is unbearable, and against picking passages from a book. A man is gentle with his household, guards his tongue, and quarrels with no woman or brother.

περὶ δικαιόσυνης καὶ αληθηας. 134
about justice and truth
Χρὴ οὖν εἶναί σε δίκαιον εἰς ἄκρον καὶ ἀληθῆ,
it-is-needful then to-be you just to the-utmost and true
πλὴν τοὺς ἁμαρτάνοντας τοιούτῳ τρόπῳ κόλαζε·
but the(-ones) sinning in-such way punish
τοὺς μὲν σὺ κόλαζε καὶ τιμώρει, τοὺς δὲ ἄγων
the(-ones) indeed you punish and chastise the(-ones) and leading
συνάθροιζε τὸν λαὸν καὶ διηγοῦ αὐτοῖς τὴν ἀδικίαν
gather the people and relate to-them the injustice
καὶ λέγε αὐτοῖς· κρίνατε αὐτούς. καὶ εἰ τάχα καὶ
and say to-them judge them and if perhaps even
ὁμόφρονες αὐτῶν εἰσὶν, ἀλλ᾽ οὐ δυνήσονται τὸ δίκαιον
like-minded their they-are yet not they-will-be-able the just

παρακρούσασθαι, ἀλλ᾽ ἐντρεπόμενοι, μᾶλλον δὲ ὑπὸ τοῦ
to-thwart but being-ashamed rather and by the
δικαίου συνωθούμενοι καὶ ἐλεγχόμενοι εἴπωσι τιμωρηθῆναι
just pressed and convicted they-say to-be-punished
αὐτούς. καὶ μετὰ τὴν ἀπόφασιν αὐτῶν ἐλαφροτέραν
them and after the sentence their lighter
καὶ συμπαθεστέραν αὐτοῖς ποίησον τὴν τιμωρίαν ὡς
and more-compassionate for-them make the punishment as
σπλαγχνιζόμενος αὐτούς· εἶπον αὐτοῖς ὅτι· πάντως βαρέως
having-compassion-on them say to-them that surely heavily
ὑμᾶς κατεδίκασαν οἱ φίλοι καὶ συντρόφοι ὑμῶν, ἀλλ᾽
you condemned the friends and fellows your but
ἐγὼ ἐλεήσας ὑμᾶς ἐκούφισα τὴν κρίσιν, ὅτι οὐ σοφόν
I having-pitied you lightened the judgment because not wise
ἐστιν τὸ μετὰ ἀπονοίας παιδεύειν. τότε ἐπαινεθήσῃ
it-is the with desperation to-chastise then you-will-be-praised
παρὰ πάντων καὶ παρ᾽ αὐτῶν τῶν τὰς ποινὰς
by all and by very the(-ones) the penalties
ὑποστάντων. τοὺς δὲ λοιποὺς λόγοις ἀμυντηρίοις ἐκφοβῶν
having-undergone the and rest with-words threatening frightening
διορθοῦ, ἄλλους δὲ μετὰ καλοηθείας καὶ ἡμερότητος
οὐδέποτε νικήσεις τὴν τοῦ Θεοῦ ἀγαθότητα· ὅσα
never you-will-conquer the — of-God goodness as-many-as
γὰρ ἄν τις προσενέγκῃ Θεῷ ἐκ τῶν αὐτοῦ, τὰ
for — anyone offers to-God from the his-own the(-things)
αὐτοῦ προσφέρει αὐτῷ· καὶ ὡς οὐκ ἔστιν ὑπερβῆναι τὴν
his-own he-offers to-him and as not it-is-possible to-overpass the
ἰδίαν ἐν τῷ ἡλίῳ σκιὰν, προλαμβάνουσαν ἀεὶ καὶ τὸν
own in the sun shadow going-before always even the(-one)
λίαν ἐπειγόμενον· οὕτως οὐδὲ τὴν ἀνυπέρβλητον τοῦ
very hastening so not-even the unsurpassable —
Θεοῦ χρηστότητα ταῖς εὐποιίαις ὑπερβήσονται ἄνθρωποι.
of-God kindness by-the beneficences will-surpass men

44 Ἀδαπάνητός ἐστι τῆς εὐποιίας ὁ πλοῦτος· ἐν τῷ διδόναι
unspendable is of-the beneficence the wealth in the to-give
γὰρ λαμβάνεται, καὶ ἐν τῷ σκορπίζειν συνάγεται. Τοῦτον
for it-is-received and in the to-scatter it-is-gathered this
ἔχων ἐν τῇ ψυχῇ σου, πλουσιόδωρε βασιλεῦ, δίδου πᾶσι
having in the soul your rich-in-gifts emperor give to-all
δαψιλῶς τοῖς αἰτοῦσι παρὰ σοῦ· ἀπειροπλασίας γὰρ
abundantly to-the(-ones) asking from you infinitely-many-fold for
ἕξεις τὰς ὑπὲρ τούτων ἀμοιβὰς, ὅταν ἔλθῃ ὁ καιρὸς
you-will-have the for these returns when comes the time
τῆς τῶν ἔργων ἀντιδόσεως.
of-the of-the works requital

Νεύματι Θεοῦ τὴν βασιλείαν λαβὼν, μίμησαι αὐτὸν 45
by-nod of-God the kingship having-received imitate him
δι᾽ ἔργων ἀγαθῶν· ὅτι τῶν εὖ ποιεῖν δυναμένων
through works good because of-the(-ones) well to-do able
ἐγένου, ἀλλ᾽ οὐ τῶν εὖ παθεῖν δεομένων. Τὸ γὰρ
you-became but not of-the(-ones) well to-suffer needing the for
ἕτοιμον τῆς τῶν χρημάτων δαψιλείας ἀνεμπόδιστόν ἐστι
readiness of-the of-the goods abundance unhindered is
πρὸς τὰς τῶν πενήτων εὐποιίας.
toward the of-the poor beneficences
Ὥσπερ ὀφθαλμὸς ἐμπέφυκε σώματι, οὕτω βασιλεὺς τῷ 46
just-as eye is-implanted in-body so emperor in-the
κόσμῳ ἐνήρμοσται, ὑπὸ τοῦ Θεοῦ δεδομένος εἰς συνεργίαν
world is-fitted by — God given for cooperation
τῶν συμφερόντων. Χρὴ οὖν αὐτὸν, ὡς οἰκείων μελῶν,
of-the advantageous(-things) it-is-needful then him as own limbs
οὕτω πάντων ἀνθρώπων προνοεῖν, ἵνα προκόπτωσιν ἐν
so all men to-provide-for that they-may-advance in
καλοῖς, καὶ μὴ προσκόπτωσιν ἐν κακοῖς.
good(-things) and not stumble in evil(-things)
Ἀσφαλεστάτην ἡγοῦ τῆς σωτηρίας σου φυλακὴν, τὸ 47
safest consider of-the safety your guard the
μηδέποτέ τινα τῶν ὑπηκόων ἀδικεῖν· ὁ γάρ τινα
never anyone of-the subjects to-wrong the(-one) for anyone
μὴ ἀδικῶν, οὐχ ὑφορᾶταί τινα· εἰ δὲ τὸ μὴ ἀδικεῖν
not wronging not suspects anyone if and the not to-wrong
ἀσφάλειαν προξενεῖ, τὸ εὐεργετεῖν πολλῷ πλέον. Τὸ
safety procures the to-benefit much more the
ἀσφαλὲς γὰρ δίδωσι, καὶ τὸ προσφιλὲς οὐ προδίδωσι.
safety for gives and the endearing not betrays

48 Γίνου τοῖς ὑπηκόοις, εὐσεβέστατε βασιλεῦ, καὶ φοβερὸς
become to-the subjects most-pious emperor both fearsome
διὰ τὴν ὑπεροχὴν τῆς ἐξουσίας, καὶ ποθεινὸς διὰ
because-of the eminence of-the authority and longed-for because-of
τὴν παροχὴν τῆς εὐποιίας· μήτε τοῦ φόβου καταφρονῶν
the bestowal of-the beneficence neither the fear despising
διὰ τὸν πόθον, μήτε τοῦ πόθου παραμελῶν διὰ
because-of the longing nor the longing neglecting because-of
τὸν φόβον· ἀλλὰ τὸ ἥμερον ἔχων ἀκαταφρόνητον, καὶ
the fear but the gentle having not-to-be-despised and
τὸ εὐκαταφρόνητον ἔχων ἀνήμερον.
the despicable having ungentle

49 Ἃ τοῖς ὑπηκόοις νομοθετεῖς διὰ τῶν λόγων,
what(-things) to-the subjects you-legislate through the words
ταῦτα προλαβὼν ὑπέδειξας διὰ τῶν ἔργων· ἵνα τοῖς
these having-anticipated you-showed through the deeds that with-the
λόγοις οἷς πείθεις, καὶ χρηστὸς συναγωνίζηται βίος.
words with-which you-persuade also good may-contend-alongside life
Οὕτω γὰρ εὐδόκιμον ἀποφανῇ σου τὸ κράτος, καὶ λέγων
thus for esteemed you-will-show your the might both speaking
πρακτικῶς, καὶ πράττων λογικῶς.
practically and acting rationally

50 Πλέον ἀγάπα, βασιλεῦ γαληνότατε, τοὺς λαμβάνειν
more love emperor most-serene the(-ones) to-receive
παρὰ σοῦ χάριτας ἱκετεύοντας, ἢπερ τοὺς σπουδάζοντας
from you favors entreating than the(-ones) striving
δωρεάς σοι προσφέρειν. Τοῖς μὲν γὰρ ὀφειλέτης
gifts to-you to-bring to-the(-ones) indeed for debtor
ἀμοιβῆς καθίστασαι· οἱ δέ σοι τὸν Θεὸν ὀφειλέτην
of-return you-are-made the(-ones) and for-you — God debtor
ποιοῦσι, τὸν οἰκειούμενον τὰ εἰς αὐτοὺς γινόμενα,
make the(-one) appropriating the(-things) to them happening

καὶ ἀμειβόμενον ἀγαθαῖς ἀντιδόσεσι τὸν φιλόθεον, καὶ
and requiting with-good repayments the God-loving and
φιλάνθρωπόν σου σκοπόν.
humane your aim
Ἡλίου μὲν ἔργον ἐστὶ, τὸ καταλάμπειν ταῖς ἀκτῖσι τὴν 51
of-sun indeed work is the to-illumine with-the rays the
κτίσιν· ἄνακτος δὲ ἀρετὴ, τὸ ἐλεεῖν τοῖς δεομένοις.
creation of-sovereign and virtue the to-show-mercy to-the(-ones) needing
Κἀκείνου δὲ φανερώτερος, ὁ εὐσεβὴς βασιλεύς· ὁ
and-than-that and more-conspicuous the pious emperor the(-one)
μὲν γὰρ ὑποχωρεῖ τῇ διαδοχῇ τῆς νυκτός· ὁ
indeed for withdraws before-the succession of-the night the(-other)
δὲ οὐ παραχωρεῖ τῇ συναρπαγῇ τῶν κακῶν, ἀλλὰ τῷ
and not yields to-the plundering of-the evils but by-the
φωτὶ τῆς ἀληθείας ἐξελέγχει τὰ κρυπτὰ τῆς ἀδικίας.
light of-the truth exposes the hidden(-things) of-the injustice
Τοὺς μὲν πρὸ σοῦ βασιλεῖς ἡ ἀρχὴ κατεκόσμησε· σὺ 52
the indeed before you emperors the rule adorned you
δὲ ταύτην, κράτιστε, φαιδροτέραν ἐποίησας, ἡμερότητι
and it most-mighty brighter made with-gentleness
κιρνῶν τῆς ἐξουσίας τὸν ὄγκον, καὶ χρηστότητι νικῶν
tempering of-the authority the weight and with-kindness conquering
τῶν προσιόντων σοι τὸν φόβον. Ὅθεν τῷ λιμένι
of-the(-ones) approaching you the fear whence to-the harbor
τῆς σῆς γαληνότητος πάντες προσορμῶσιν οἱ ἐλέους
of-the your serenity all put-in the(-ones) mercy
δεόμενοι, καὶ τῶν κυμάτων τῆς πενίας ἀπαλλαττόμενοι,
needing and of-the waves of-the poverty being-freed
εὐχαριστηρίους ὕμνους σοι ἀναπέμπουσιν.
thankful hymns to-you send-up

53 Ὅσον τῇ δυναστείᾳ πάντων ὑπερανέχεις, τοσοῦτον
as-much-as in-the dominion all you-surpass so-much
καὶ τοῖς ἔργοις ὑπερλάμπειν ἀγωνίζου· ἀναλογοῦσαν
also in-the works to-outshine strive proportionate
γὰρ τῷ μεγέθει τῆς δυνάμεως τὴν ἐργασίαν τῶν
for to-the greatness of-the power the working of-the
καλῶν ἀπαιτεῖσθαι προσδόκησον. Ἵνα τοίνυν παρὰ Θεοῦ
good(-things) to-be-demanded expect that therefore by God
ἀνακηρυχθῇς, μετὰ τοῦ στεφάνου τῆς ἀηττήτου βασιλείας,
you-may-be-proclaimed with the crown of-the unconquered kingship
κτῆσαι καὶ τὸ στέμμα τῆς τῶν πενήτων εὐποιίας.
acquire also the wreath of-the of-the poor beneficence
54 Σκέπτου πρὶν ἐπιτάττειν ἃ θέλεις, ἵνα προστάττῃς
consider before to-command what(-things) you-wish that you-may-order
ἐμφρόνως ἃ θέμις· εὐόλιθον γὰρ τὸ τῆς γλώττης
prudently what(-things) is-right slippery for the of-the tongue
ὄργανον, καὶ μέγιστον παρέχει τοῖς ἀμελοῦσι κίνδυνον.
instrument and greatest offers to-the(-ones) neglecting danger
Εἰ δὲ τὸν εὐσεβῆ λογισμὸν ὡς μουσικὴν ἐπιστήσεις αὐτῷ,
if and the pious reasoning as music-master you-will-set-over it
τὸ παναρμόνιον τῆς ἀρετῆς ἀνακρούσεται μέλος.
the all-harmonious of-the virtue it-will-strike-up song
55 Ὀξὺν μὲν εἶναι χρὴ περὶ πάντα τὸν ἄνακτα, καὶ
sharp indeed to-be it-is-needful about all(-things) the sovereign and
μάλιστα περὶ τὰς κρίσεις τῶν δυσχερῶν πραγμάτων,
most about the judgments of-the difficult affairs
βραδὺν δὲ λίαν εἰς ὀργὴν ἐπιδείκνυσθαι. Ἐπειδὴ καὶ τὸ
slow and very to anger to-show-oneself since also the
πάντη ἀόργητον εὐκαταφρόνητον, καὶ θυμούσθω μετρίως,
wholly angerless despicable both let-him-be-angry moderately
καὶ μὴ θυμούσθω· τὸ μὲν, ἵνα τῶν φαύλων τὰς ὁρμὰς
and not let-him-be-angry the(-one) indeed that of-the base(-men) the impulses

ἀναστέλλῃ· τὸ δὲ, ἵνα τὰς ἀφορμὰς τῶν χρηστῶν
he-may-check the(-other) and that the occasions of-the good(-men)
ἀνιχνεύῃ.
he-may-track-out
Ἐν τῷ ἀκριβεῖ τῆς καρδίας σου βουλευτηρίῳ, ἐπιμελῶς 56
in the exact of-the heart your council-chamber carefully
κατανόει τῶν συνόντων σοι τοὺς τρόπους, ἵνα
observe of-the(-ones) being-with you the ways that
γινώσκῃς ἀκριβῶς καὶ τοὺς ἐν ἀγάπῃ θεραπεύοντας, καὶ
you-may-know exactly both the(-ones) in love serving and
τοὺς ἐν ἀπάτῃ κολακεύοντας· πολλοὶ γὰρ εὐνοεῖν
the(-ones) in deceit flattering many for to-be-well-disposed
ὑποκρινόμενοι, μεγάλα τοὺς πιστεύοντας καταβλάπτουσι.
pretending greatly the(-ones) trusting harm
Λόγον ἀκούσας ὠφελῆσαι δυνάμενον, μὴ μόνον ἀκοῇ 57
word having-heard to-profit able not only by-hearing
τοῦτον, ἀλλὰ καὶ πράξει διαδέχου· οὕτω γὰρ τὸ τοῦ
it but also by-deed receive thus for the of-the
βασιλέως ἀγλαΐζεται κράτος, ὅταν ἢ παρ' ἑαυτοῦ τὰ
emperor is-made-glorious might when either by himself the
δέοντα συνορᾷ, ἢ παρ' ἄλλου εὑρεθέντα μηδαμῶς παρορᾷ,
needful(-things) he-perceives or by another found in-no-way overlooks
ἀλλὰ μανθάνει μὲν ἀνεπαισχύντως, ἐπιτελεῖ δὲ ἀνυπερθέτως.
but learns indeed unashamedly accomplishes and without-delay
Ἀκρόπολις μὲν ἀπορθήτοις τείχεσιν ἠσφαλισμένη 58
citadel indeed with-unsackable walls secured
καταφρονεῖ τῶν πολιορκούντων αὐτὴν πολεμίων· ἡ
despises the besieging it enemies the
εὐσεβὴς δὲ βασιλεία ὑμῶν ἐλεημοσύναις τετειχισμένη, καὶ
pious and kingship your with-almsgivings walled and

προσευχαῖς περιπυργουμένη, ἀήττητος γίνεται τοῖς τῶν
with-prayers towered-about unconquerable becomes to-the of-the
ἐχθρῶν βέλεσιν, ἀοίδιμα κατ᾽ αὐτῶν ἐγείρουσα τρόπαια.
enemies missiles renowned against them raising trophies

59 Χρῆσαι δεόντως τῇ κάτω βασιλείᾳ, ἵνα κλίμαξ σοι γένηται
use fittingly the below kingship that ladder for-you it-may-become
τῆς ἄνω εὐδοξίας· οἱ γὰρ ταύτην καλῶς διοικοῦντες,
of-the above glory the(-ones) for this well administering
μετὰ ταύτης κἀκείνης ἀξιοῦνται. Ταύτην δὲ διοικοῦσι
with this also-that are-deemed-worthy-of this and administer
καλῶς, οἱ πατρικὸν τοῖς ἀρχομένοις ἐπιδεικνύοντες
well the(-ones) paternal to-the(-ones) being-ruled showing
πόθον, καὶ ἀρχικὸν παρ᾽ αὐτῶν ἀντιλαμβάνοντες φόβον·
longing and ruler's from them receiving-in-return fear
ἀπειλαῖς μὲν τὰ πταίσματα προαναστέλλοντες, τιμωρίαις
with-threats indeed the stumbles checking-beforehand with-punishments
δὲ πεῖραν αὐτοῖς οὐ προσάγοντες.
and trial to-them not bringing

60 Ἱμάτιον ἀπαλαίωτόν ἐστι τὸ τῆς εὐποιίας περιβόλαιον, καὶ
garment not-growing-old is the of-the beneficence covering and
ἀδιάφθορος στολὴ ἡ πρὸς τοὺς πένητας στοργή. Δεῖ οὖν
incorruptible robe the toward the poor affection it-is-needful then
τὸν βουλόμενον εὐσεβῶς βασιλεύειν, τοιούτοις ἐνδύμασι
the(-one) wishing piously to-reign with-such garments
τὴν ψυχὴν καλλωπίζειν· φιλοπτωχίας γὰρ ἠμφιεσμένος
the soul to-adorn of-love-of-the-poor for having-put-on
πορφύραν, καὶ οὐρανίου βασιλείας καταξιοῦται.
purple also of-heavenly kingdom he-is-deemed-worthy

61 Σκῆπτρον βασιλείας παρὰ Θεοῦ δεξάμενος, σκέπτου πῶς
scepter of-kingship from God having-received consider how
ἀρέσεις τῷ ταύτην σοι δεδωκότι· καὶ ὡς πάντων
you-will-please the(-one) this to-you having-given and as of-all

ἀνθρώπων ὑπ᾽ αὐτοῦ προτιμηθεὶς, πλέον πάντων ἐπείγου
men by him preferred more than-all hasten
καταγεραίρειν αὐτόν. Τοῦτο δὲ γέρας ἡγεῖται μέγιστον,
to-honor him this and honor he-considers greatest
ἂν ὡς αὐτὸν τοὺς ὑπ᾽ αὐτοῦ διαπλασθέντας ὁρᾷς, καὶ
if as himself the(-ones) by him fashioned you-see and
ὡς χρεῶν καταβολὴν τὰς εὐποιίας πληροῖς.
as of-debts payment the beneficences you-fulfill
Τρέχειν μὲν εἰς τὴν ἄνω βοήθειαν πᾶς ἄνθρωπος 62
to-run indeed to the above help every man
ὀφείλει, ὁ σωτηρίας γλιχόμενος· ὁ βασιλεὺς δὲ πρὸ
ought the(-one) salvation longing-for the emperor and before
πάντων, ὡς μεριμνῶν ὑπὲρ πάντων. Ὑπὸ τοῦ Θεοῦ γὰρ
all as caring for all by — God for
φυλαττόμενος, καὶ τοὺς πολεμίους καταγωνίζεται γενναίως,
being-guarded both the enemies he-overcomes nobly
καὶ τοὺς οἰκείους κατασφαλίζεται σπουδαίως.
and the own(-people) he-secures zealously
Ὁ μὲν Θεὸς οὐδενὸς δεῖται· ὁ βασιλεὺς δὲ μόνου Θεοῦ. 63
— indeed God of-nothing needs the emperor and of-only God
Μιμοῦ τοίνυν τὸν οὐδενὸς δεόμενον, καὶ δαψιλεύου τοῖς
imitate therefore the(-one) of-nothing needing and be-lavish to-the(-ones)
αἰτοῦσι τὸν ἔλεον, μὴ ἀκριβολογούμενος περὶ τοὺς σοὺς
asking the mercy not scrutinizing about the your
οἰκέτας, ἀλλὰ πᾶσι παρέχων τὰς πρὸς τὸ ζῆν αἰτήσεις.
household-servants but to-all furnishing the for the to-live requests
Πολὺ γὰρ κρεῖττόν ἐστι διὰ ἀξίους ἐλεεῖν καὶ τοὺς
much for better it-is because-of worthy to-pity also the
ἀναξίους, ἢ τοὺς ἀξίους ἀποστερεῖν διὰ τοὺς ἀναξίους.
unworthy than the worthy to-deprive because-of the unworthy

64 Συγγνώμην αἰτούμενος ἁμαρτημάτων, συγγίνωσκε καὶ
pardon asking of-sins pardon also
αὐτὸς τοῖς εἰς σὲ πλημμελοῦσιν· ὅτι ἀφέσει
yourself to-the(-ones) against you erring because for-remission
ἀντιδίδοται ἄφεσις, καὶ τῇ πρὸς τοὺς ὁμοδούλους ἡμῶν
is-given-in-return remission and for-the toward the fellow-servants our
καταλλαγῇ, ἡ πρὸς Θεὸν φιλία καὶ οἰκείωσις.
reconciliation the toward God friendship and intimacy
65 Δεῖ τὸν ἀμέμπτως ἀνάσσειν ἐσπουδακότα, καὶ τὰς
it-is-needful the(-one) blamelessly to-rule having-striven both the
τῶν ἔξωθεν ἀδοξίας φυλάττεσθαι, καὶ ἑαυτὸν πρὸ ἐκείνων
of-the outside disrepute to-guard-against and himself before those
αἰσχύνεσθαι, ἵνα καὶ τοῦ φανερῶς ἁμαρτάνειν δι᾽
to-be-ashamed that both from-the openly to-sin because-of
ἐκείνους ἀπέχηται, καὶ τοῦ κατ᾽ ἰδίαν πλημμελεῖν ὑφ᾽
those he-may-abstain and from-the in private to-err by
ἑαυτοῦ κωλύηται. Εἰ γὰρ οἱ ὑπήκοοι αἰδοῦς ἄξιοι
himself he-may-be-hindered if for the subjects of-respect worthy
φαίνονται, πολλῷ πλέον ὁ βασιλεὺς ἄξιος ταύτης γίνεται.
appear by-much more the emperor worthy of-it becomes
66 Ἰδιώτου μὲν εἶναι κακίαν φημὶ, τὸ πράττειν φαῦλα
of-private-man indeed to-be vice I-say the to-do base(-things)
καὶ κολάσεως ἄξια· ἄρχοντος δὲ πονηρίαν, τὸ μὴ ποιεῖν
and of-punishment worthy of-ruler and wickedness the not to-do
τὰ καλὰ καὶ σωτηρίας πρόξενα. Οὐ γὰρ ἡ τῶν
the good(-things) and of-salvation procuring not for the of-the
κακῶν ἀποχὴ δικαιοῖ τὸν κρατοῦντα, ἀλλ᾽ ἡ τῶν
evil(-things) abstention justifies the(-one) ruling but the of-the
καλῶν παροχὴ στεφανοῖ τὸν τοιοῦτον. Μὴ μόνον τοίνυν
good(-things) bestowal crowns the such(-man) not only therefore

πονηρίας ἀπέχεσθαι λογιζέσθω, ἀλλὰ καὶ δικαιοσύνης
from-wickedness to-abstain let-him-reckon but also to-justice
ἀντέχεσθαι σπουδαζέτω.
to-cling let-him-strive
Ἀξιωμάτων λαμπρότητας οὐ δυσωπεῖται ὁ θάνατος· κατὰ 67
of-dignities splendors not is-abashed-before the death against
πάντων γὰρ ἐπιβάλλει τοὺς παμφάγους αὐτοῦ ὀδόντας.
all for it-lays the all-devouring its teeth
Οὐκοῦν πρὸ τῆς ἐκείνου ἀπαραιτήτου παρουσίας, μεταθῶμεν
therefore before the its inexorable coming let-us-transfer
εἰς οὐρανὸν τὴν τῶν χρημάτων περιουσίαν. Οὐδεὶς γὰρ
to heaven the of-the goods abundance no-one for
ἃ ἐν κόσμῳ συνάγει, ἐκεῖσε ἀποδημήσας ἀπάγει,
what(-things) in world he-gathers there having-departed takes-away
ἀλλὰ πάντα καταλιπὼν ἐπὶ γῆς, γυμνὸς λογοθετεῖται
but all(-things) having-left on earth naked renders-account-for
τὸν βίον αὐτοῦ.
the life his
Κύριος μὲν πάντων ἐστὶν ὁ βασιλεὺς, δοῦλος δὲ μετὰ 68
lord indeed of-all is the emperor slave and with
πάντων ὑπάρχει Θεοῦ. Τότε δὲ μάλιστα κληθήσεται κύριος,
all is of-God then and most he-will-be-called lord
ὅταν αὐτὸς ἑαυτοῦ δεσπόζῃ, καὶ ταῖς ἀτόποις ἡδοναῖς
when he himself masters and to-the absurd pleasures
μὴ δουλεύῃ, ἀλλὰ σύμμαχον ἔχων τὸν εὐσεβῆ λογισμὸν,
not is-slave but ally having the pious reasoning
τὸν ἀήττητον αὐτοκράτορα τῶν ἀλόγων παθῶν, τοὺς
the unconquered autocrator of-the irrational passions the
πανδαμάτορας ἔρωτας τῇ πανοπλίᾳ τῆς σωφροσύνης
all-subduing loves with-the full-armor of-the temperance
καταγωνίζηται.
he-overcomes

69 Ὃν τρόπον αἱ σκιαὶ τοῖς σώμασιν ἕπονται, οὕτως
which way the shadows the bodies follow so
ἁμαρτίαι ταῖς ψυχαῖς ἀκολουθοῦσιν, ἐναργῶς τὰς πράξεις
sins the souls follow vividly the deeds
ἐξεικονίζουσαι. Διὰ τοῦτο οὐκ ἔστιν ἐν τῇ κρίσει
portraying because-of this not it-is-possible in the judgment
ἀρνήσασθαι· αὐτὰ γὰρ ἑκάστου καταμαρτυρήσει τὰ
to-deny themselves for of-each will-testify-against the
πράγματα, οὐ φωνὴν ἀφιέντα, ἀλλὰ τοιαῦτα φανέντα,
deeds not voice uttering but such appearing
οἷα παρ᾽ ἡμῶν ἐπράχθησαν.
as by us were-done

70 Νηὸς ποντοπορούσης μιμεῖται διάβασιν ἡ βραχυτελὴς τοῦ
of-ship sea-faring imitates passage the short-lived of-the
παρόντος βίου κατάστασις, ἡμᾶς τοὺς αὐτῆς πλωτῆρας
present life condition us the of-it voyagers
λανθάνουσα, καὶ κατὰ μικρὸν παρασύρουσα δρόμον, καὶ
escaping-notice and by little sweeping-along course and
πρὸς ἴδιον ἑκάστου παραπέμπουσα τέλος. Εἰ τοίνυν
to own of-each escorting end if therefore
ταῦθ᾽ οὕτως ἔχει, παραδράμωμεν τὰ παρατρέχοντα
these(-things) thus hold let-us-run-past the passing-by
τοῦ κόσμου πράγματα, καὶ προσδράμωμεν τοῖς εἰς
of-the world affairs and let-us-run-toward the(-things) to
αἰῶνας τῶν αἰώνων μένουσιν.
ages of-the ages remaining

71 Ὁ σοβαρὸς καὶ ὑπέροφρυς ἄνθρωπος, μὴ ὡς ταῦρος
the haughty and supercilious man not as bull
ὑψίκερως ἐπαιρέσθω, ἀλλ᾽ ἐννοείτω τῆς σαρκὸς τὴν
high-horned let-him-be-lifted-up but let-him-consider of-the flesh the
ὑπόστασιν, καὶ παυέτω τῆς καρδίας τὴν ἔπαρσιν. Εἰ γὰρ
substance and let-him-stop of-the heart the elation if for

καὶ γέγονεν ἄρχων ἐπὶ γῆς, μὴ ἀγνοείτω ὑπάρχων
even he-has-become ruler on earth not let-him-be-ignorant being
ἐκ τῆς γῆς, ἀπὸ χοὸς ἐπὶ θρόνον ἀναβαίνων, καὶ εἰς
from the earth from dust onto throne going-up and into
αὐτὸν μετὰ χρόνον καταβαίνων.
it after time going-down
Σπούδαζε διαπαντὸς, ἀήττητε βασιλεῦ· καὶ ὥσπερ οἱ 72
strive always unconquered emperor and as the(-ones)
τὰς κλίμακας ἀναβαίνειν ἀρξάμενοι, οὐ πρότερον ἵστανται
the ladders to-climb having-begun not before stop
τῆς ἐπὶ τὰ ἄνω φορᾶς, πρὶν ἂν τῆς ἄκρας ἐφίκωνται
of-the toward the above motion before — the top they-reach
βαθμίδος· οὕτω καὶ αὐτὸς ἔχου τῆς τῶν καλῶν ἀναβάσεως,
step so also yourself hold-to the of-the good(-things) ascent
ὅπως ἂν καὶ τῆς ἄνω βασιλείας ἀπολαύσειας. Ἣν σοι
so-that — also of-the above kingdom you-may-enjoy which to-you
παράσχοι Χριστὸς μετὰ τῆς ὁμοζύγου, ὁ βασιλεὺς τῶν
may-grant Christ with the consort the king of-the(-ones)
βασιλευόντων καὶ βασιλευομένων, εἰς τοὺς αἰῶνας. Ἀμήν.
reigning and being-reigned-over to the ages amen

THEOPHYLACT OF OCHRID

ΠΑΙΔΕΙΑ ΒΑΣΙΛΙΚΗ

The Education of a Prince

Theophylact gives the young Constantine his treatise as a gift more lasting than gold. He praises the city of his birth, its seasons and fruits, his body and his quick memory, and the justice of his grandfather and learning of his father. Above all he praises his mother Maria, who chose the monastic life freely, fed the hungry, ransomed the condemned, and gave alms in secret. He turns aside to rebuke those who found new monasteries and neglect the old, and praises her learning and her care for her son's education.

Ἀξία καὶ τιμὴ τοῦ συντάγματος. 1
worth and value of-the treatise

Δῶρόν τοι καὶ ἐγὼ, βασιλεῦ φίλε, τοῦτο δίδωμι· δῶρον
gift surely also I emperor dear this give gift
ἐμοὶ διδόναι καὶ σοὶ λαμβάνειν ἱλαρῶς οἰκειότατον. Καὶ
for-me to-give and for-you to-receive cheerfully most-fitting and
τάχα κρεῖττον τῶν ἄλλων, ἃ δαπάνη τε χρόνου καὶ
perhaps better than-the others which expense both of-time and
φθόνου, καὶ λησταῖς εὐπορία, καὶ κλέπταις ἅρπαγμα.
of-envy and for-robbers plenty and for-thieves plunder
Οἱ μὲν γάρ σου τοῦ κράτους ὑπήκοοι δασμοφοροῦσιν
the indeed for of-you the might subjects pay-tribute
ἐτήσια, οἱ μὲν χρυσίον, οἱ δὲ ἀργύριον, οἱ δὲ ὅσα
yearly some indeed gold others and silver others and whatever
ἄλλα εἰς φθορὰν τῇ ἀποχρήσει, καθά φησιν ὁ θεῖος
other(-things) for destruction in-the using-up as says the divine
Ἀπόστολος. Λόγος δὲ, χρυσοῦ τιμαλφέστερος, ἀργύρου
Apostle word and than-gold more-precious than-silver
λαμπρότερος, πάντων ἁπλῶς μονιμώτερος. Κἀκεῖνοι μὲν
brighter than-all simply more-lasting and-they indeed
ὑποτελοῦσι καὶ ἄκοντες, τῆς ἡμετέρας κατακρίσεως τὸ
pay also unwilling of-the our sentence the

βαρύτατον· σοφία δὲ, ἄνετόν τι χρῆμα, καὶ τῷ ὄντι
heaviest wisdom and unconstrained a-certain thing and in-the being
ἀδέσποτον, αὐθαιρέτως μὲν οἰκεῖον φέρουσα φιλοπόνημα,
masterless of-its-own-choice indeed its-own bringing labor-of-love
εὐεργετοῦσα δὲ τοὺς, οἵτινες τὰ δῶρα προσδέχονται.
benefiting and those who the gifts accept

2 Περὶ τοῦ καθήκοντος τοῦ βασιλικοῦ διδασκάλου.
about the duty of-the imperial teacher

Κἀγὼ τοίνυν ὁ σὸς διδάσκαλος (πτεροῦμαι γὰρ τῷ
and-I therefore the your teacher I-am-winged for by-the
ὀνόματι καὶ δεκάπηχυς γίνομαι, βασιλέως καθηγητὴς
name and ten-cubits(-tall) become of-emperor tutor
προσκαλούμενος), καὶ ἐθελοντὴς ἄγω σοι τοῦ λόγου
being-called and willingly I-bring to-you of-the word
τὸ δῶρον τήμερον, καί σοι εὐάγγελος γίνομαι (μὴ
the gift today and to-you bearer-of-good-news become not
ἀπιστήσῃς φωνῇ διδασκάλου), ὡς εὐδαιμονίας ποταμοί σοι
disbelieve voice of-teacher that of-happiness rivers to-you
ῥυήσονται, εἴπερ ἐπὶ σὴν καρδίαν, ὡς ὑετὸς, καταβαίνῃ
will-flow if-indeed upon your heart as rain come-down
τὰ ἐμὰ ῥήματα. Ὅθεν τὰ ἑκούσια τοῦ στόματός μου
the my words whence the free-will(-offerings) of-the mouth my
εὐδόκησας. Οὐ γὰρ κολακεύσω τὸν ἐμὸν αὐτοκράτορα,
you-were-pleased-with not for I-will-flatter the my autocrator
οὐδὲ θρύψω σου τὰ ὦτα λόγοις ἀπατηλοῖς, καὶ τὸν
nor I-will-soften your the ears with-words deceitful and the
σοφιστὴν ἐπιφαίνουσιν· οὐδὲ τὸν Λύδιον ἁρμόσομαι νόμον,
sophist displaying nor the Lydian I-will-tune mode
ἀλλὰ τὸν σύντονόν τε καὶ Δώριον. Λίαν γὰρ ἂν ἀδικοίην
but the intense both and Dorian very for — I-would-wrong
καὶ τὴν τοῦ λαχόντος με βίου προαίρεσιν, καὶ τὴν σὴν
both the of-the having-fallen-to me of-life choice and the your

φύσιν· ἦ πάντως ἀγαθοὺς καρποὺς καὶ οὐκ ἀγενεῖς
nature which surely good fruits and not ignoble
δοῦναι δύναται, μόνον εἰ σπέρμα βασιλικὸν ὑποδέχοιτο.
to-give can only if seed royal it-receive
Κωνσταντῖνος ἐκ τῆς πατρίδος εὔμοιρος. 3
Constantine from the fatherland fortunate
Τί γὰρ οὔ σοι συντρέχει πρὸς τὸ βίον ἐλέσθαι
what for not to-you concurs toward the life to-choose
τὸ δεξιώτατον; ᾧ γε καὶ πατρὶς βασίλισσα καὶ
the most-favorable to-whom at-least also fatherland queen and
μεγαλόπολις καὶ καλλίπολις, ἧπερ οὐδ' ἂν ὁ Μῶμος
great-city and beautiful-city which not-even — — Momus
αὐτὸς ἐγκαλέσειε τὸ μὴ οὐ πρὸς τὰς ὥρας κεκρᾶσθαι,
himself would-charge-with the — not toward the seasons to-have-been-tempered
καὶ τρυφᾷν ἀέρων εὐμοιρίᾳ καὶ συμμετρίᾳ. Οὔτε γὰρ
and to-luxuriate of-airs in-good-fortune and proportion neither for
χειμὼν ἐνταῦθα νεωτερίζει, καὶ τοὺς ὅρους ἐκβαίνων
winter here innovates and the bounds overstepping
Σκυθικώτερον ἡμῖν ἐπιτίθεται, ὡς τὸ αἷμα τοῖς ζώοις
more-Scythian-like on-us attacks so-as the blood in-the animals
πηγνύναι, καὶ τοῖς ποταμοῖς ἐπιβάλλειν δεσμὰ κρυστάλλινα·
to-congeal and on-the rivers to-throw bonds crystal
οὐδὲ θέρος ἐκλύον καὶ πᾶσαν καταβάλλον τὴν δύναμιν, ὡς
nor summer relaxing and all throwing-down the strength so-as
καὶ τὸν κύνα φοβερὸν ἐπεγείρειν τοῖς σώμασι κατὰ τῆς
also the dog fearsome to-rouse against-the bodies against the
τούτων εὐσταθείας ἀγριαινόμενον. Ἀλλὰ χειμὼν μὲν οἷος
of-these stability raging but winter indeed able
τὴν ἡμετέραν συγκροτεῖν δύναμιν, καὶ συνάγειν τὴν τῶν
the our to-knit-together strength and to-gather the of-the
στοιχείων παράταξιν, οὐκ ἐῶν αὐτὴν πάμπαν διαφορεῖσθαι
elements array not allowing it altogether to-be-dissipated

καὶ σκίδνασθαι· θέρος δὲ, οἷον θάλψιν διδόναι τοῖς σώμασι
and to-be-scattered summer and able warmth to-give to-the bodies
καὶ περιττωμάτων διάπνοιαν· αἱ δὲ λοιπαὶ τῶν ὡρῶν,
and of-residues exhalation the and rest of-the seasons
πρὸς τὴν τῶν ἀδελφῶν ἰδέαν ἀναλόγως μορφούμεναι. Οὐχ
to the of-the sisters form proportionally being-shaped not
ὁρᾷς γάρ τι καὶ τοὺς τῶν δένδρων καρποὺς, οἷς
you-see for something also the of-the trees fruits in-which
ἐντρυφῶμεν οἱ τῆς εὐδαίμονος οἰκήτορες πόλεως; Οὕτω
we-luxuriate the of-the happy inhabitants city thus
μὲν γὰρ μεγέθους ἱκανῶς ἔχουσιν, ὡς μηδένα λόγον
indeed for size sufficiently they-have so-as no account
εἶναι τοῖς ὁρῶσι περὶ τῆς κατὰ γεῦσιν ἡδύτητος·
to-be for-the(-ones) seeing about the in taste sweetness
οὕτω δὲ τὴν γεῦσιν ἡδύνουσιν, ὡς ἐν τούτῳ τῷ μέρει τὸ
thus and the taste they-sweeten so-as in this the part the
μέγεθος ἀποκρύπτεσθαι. Καὶ γὰρ οὗν τοὺς μὲν ἀλλαχοῦ
size to-be-hidden and for then the(-ones) indeed elsewhere
μεγάλους τῇ ἡδονῇ ὑπερβάλλουσι· τοὺς δ' ἡδονῇ
great in-the pleasure they-surpass the(-ones) and in-pleasure
προὔχοντας, τῷ μέγεθος προφαίνειν ἐξαίσιον· τοὺς δ'
excelling by-the size to-show extraordinary the(-ones) and
ἄμφω ταῦτα ἐπαινετοὺς, τῷ βασιλίδος εἶναι γεννήματα.
both these praiseworthy by-the of-queen-city to-be produce
4 Δωρεαὶ τοῦ σώματος ἐν Κωνσταντίνῳ ἐξαίρεται.
gifts of-the body in Constantine is-exalted
Αὕτη σου καὶ τὸ σῶμα πτερώσασα πρὸς πᾶν ὁτιοῦν
she your also the body having-winged toward every whatsoever
ἔπλασεν ἐπιτήδειον, καὶ ταῖς ψυχικαῖς ἐνεργείαις ὑπέθηκε
shaped fit and to-the of-the-soul energies subjected
διάκονον ἀνεμπόδιστον. Οὔτε γὰρ βαρύ σοι τοῦτο, καὶ
servant unhindered neither for heavy to-you this and

νωχελὲς, καὶ δυσκίνητον, καὶ πολλῶν κέντρων δεόμενον·
sluggish and hard-to-move and of-many goads needing
οὔτ' αὖ πάλιν εὐκινητότερον τοῦ προσήκοντος, ὥστε καὶ
nor again in-turn more-mobile than-the fitting so-as also
ἄττειν ἀκράτητα· ἀλλ' ἀμφοτέρων τὴν ἀμετρίαν διαφυγὸν,
to-dart uncontrollably but of-both the excess having-escaped
τοῖς ὅροις τῆς μεσότητος ἐγκαθίδρυται. Ἔνθα μὲν γὰρ
in-the bounds of-the mean is-established where indeed for
ἵππον ἀναβῆναι δεῖ, καὶ πυκνοῖς δρόμοις ἑαυτὸν
horse to-mount it-is-needed and in-frequent courses oneself
ἐγγυμνάσασθαι, καὶ τὸ δόρυ τῇδε καὶ τῇδε περιαγαγεῖν
to-exercise and the spear here and there to-wheel-around
δεξιαῖς ταῖς στροφαῖς, καὶ πολεμικαῖς ταῖς ὀρχήσεσιν,
with-dexterous the turns and warlike the dances
ἐνταῦθά σοι τὸ σῶμα κουφότατον· ἀλλὰ δὴ καὶ τὸ ἐν
there to-you the body lightest but indeed also the in
κυνηγεσίαις τῶν ἄλλων προεξιππάσασθαι, καὶ προφθάσαι
hunts the others to-ride-out-before and to-outstrip
τοὺς ἄνδρας, καὶ καταβαλεῖν θηρίον, ὃ καὶ νεκρὸν ἰδεῖν
the men and to-bring-down beast which even dead to-see
τὴν σὴν ἄλλος ἄγων ἡλικίαν οὐκ ἂν ὑπέμεινε· τό τε
the your other(-one) leading age not — would-have-endured the both
τοξεύειν ἀφ' ἵππου πετομένου τοῖς δρόμοις, καὶ τοξεύειν
to-shoot from horse flying in-the courses and to-shoot
ἐπίσκοπα· ταῦτα δὴ πάντα τῆς εὐκινησίας γνωρίσματα.
on-target these indeed all of-the agility tokens
Αὖθις δὲ τὸ κόσμιον τοῦ βαδίσματος, καὶ τὸ τετυγμένον
again and the orderliness of-the gait and the well-made
τοῦ φθέγματος, καὶ τὸ ἔννουν ἁπλῶς ἐν πᾶσι καὶ οἷον
of-the voice and the thoughtful simply in all and as-it-were
φιλόσοφον, καὶ τὸ μὴ περιιέσθαι κατὰ τοὺς νυμφολήπτους
philosophic and the not to-go-around like the nymph-struck

καὶ ἀλόγιστα περιστρέφεσθαι, δηλοῖ τὴν τῶν στοιχείων σοι
and senselessly to-turn-about shows the of-the elements your
κρᾶσιν, οἷόν τινι ζυγῷ διατεθεῖσαν ὑπὸ τοῦ Κρείττονος.
blend as-if by-a-certain balance disposed by the Stronger
Τοῦ αὐτοῦ νοῦς καὶ μνήμη.
of-the same mind and memory
Τὸ δὲ πρὸς τὰ μαθήματα πεφυκὸς, τὸ δὲ ἀγχίνουν, τὸ
the and toward the lessons gifted the and quick-witted the
δὲ μνημονικὸν, ποῦ θήσομεν, ὦ πανδέξιε; Ἐγὼ τούτων
and retentive where will-we-put O all-accomplished I of-these
ἁπάντων ἀψευδὴς μάρτυς καὶ ἀπαράγραπτος· συμμάρτυρες
all truthful witness and unimpeachable fellow-witnesses
δέ μοι καὶ ὁ χρηστότατος οὗτος χορὸς, οἷς σῆς ἐπειράθησαν
and to-me also the most-excellent this chorus who your made-trial-of
φύσεως. Πολλάκις γὰρ ἀναγινώσκεται μέν τις ἀνδρῶν
nature often for is-read indeed some of-men
παλαιῶν, ἢ πρᾶξις, ἢ λόγος ἀξιανάγνωστος· προφθάνεις
ancient either deed or word worth-reading you-anticipate
δὲ σύ με ὁ μαθητὴς τὸν διδάσκαλον, καὶ προαρπάζεις τὸ
and you me the pupil the teacher and you-snatch-first the
νόημα· καὶ ἁρπάσας, οὐκ εὐθὺς ἀπολώλεκας, ἀλλὰ τοῖς
thought and having-snatched not at-once you-have-lost but in-the
τῆς ψυχῆς ταμείοις ἐναπέθηκας κειμήλιον ἀναφαίρετον.
of-the soul storerooms you-have-stored-away treasure inalienable
Πολλοὶ γὰρ ὀξέως μανθάνουσιν, ὀξύτερον δὲ πάλιν
many for quickly learn more-quickly and again
ἀπομανθάνουσιν· ἅμα τε ἐπέβαλον, καὶ ἅμα ἀπέβαλον·
unlearn at-once both they-laid-hold and at-once they-cast-off
ὅμοιον ὥσπερ εἴ τις γράφῃ καθ' ὕδατος· ταχέως μὲν
like as if one writes on water quickly indeed
γὰρ κινήσει τὸν κάλαμον, ἀλλ' οὐδ' ἴχνος τῇ ταχύτητι
for he-will-move the pen but not-even trace to-the speed

τῶν κινήσεων ἕψεται. Σοὶ δὲ τὰ διεστῶτα ἡ φύσις
of-the movements will-follow to-you and the(-things) standing-apart the nature
ἥνωσε, καὶ τάχος μαθήσεως, καὶ μνήμης ἀσύγκριτον. Καὶ
united both speed of-learning and of-memory incomparable and
παντὸς μὲν εἶ κηροῦ πρὸς τὴν ἐγγραφὴν εὐτυπώτερος,
than-every indeed you-are wax for the inscribing more-impressionable
πάσης δὲ πλακὸς πρὸς τὴν συντήρησιν στερεώτερος.
than-every and tablet for the preservation firmer
Περὶ τοῦ πάππου καὶ πατρὸς τοῦ Κωνσταντίνου. 6
about the grandfather and father — of-Constantine
Ἀλλὰ γὰρ οὔ με διέλαθε τὰ τῶν σῶν γονέων καλὰ,
but for not me escaped the of-the your parents good(-things)
οἷς καὶ αὐτοῖς σε Θεὸς εἰς πᾶν καλὸν συνεκρότησε. Σὺ
with-which also themselves you God for every good knit-together you
γὰρ, ὦ καλὲ παῖ, καὶ πάντων βασιλέων ἐμοὶ ποθεινότερε,
for O fair child and of-all emperors to-me more-longed-for
οὐ τὴν μὲν φύσιν τοιαύτην ἔσχες, οἵαν μετρίως ὁ λόγος
not the indeed nature such had such-as moderately the word
ὑπετυπώσατο, τῇ δὲ τῶν γονέων ἐπαισχύνῃ φαυλότητι, ὡς
sketched at-the and of-the parents you-are-ashamed meanness as
τοὺς ἑτεροφθάλμους πάσχειν φησὶ παροιμία, καὶ τῇ
the(-ones) odd-eyed to-suffer says proverb and with-the(-one)
μὲν ἐλλάμπεσθαι, τῇ δὲ καταδύεσθαι. Ἀλλά σοι
indeed to-shine with-the(-other) and to-be-eclipsed but to-you
καὶ βασιλικὸν πατρόθεν τὸ γένος καὶ δικαιότατον· καὶ
also royal from-the-father the race and most-just and
τῷ μακαρίῳ σου πάππῳ, μᾶλλον τῆς ἀρχῆς, τὸ ἐν ταῖς
to-the blessed your grandfather rather than-the rule the in the
κρίσεσιν ἰθυτενὲς καὶ ἀπροσκλινές· τῷ τε θειοτάτῳ σου
judgments straightness and impartiality to-the both most-divine your
πατρὶ ποῖον ἀρετῆς εἶδος τὴν ψυχὴν οὐ μεμόρφωκεν; ἢ τίνι
father what of-virtue form the soul not has-shaped or to-what

παρῆκεν ἄλλῳ τὰ πρῶτα φέρεσθαι, ταῖς τε φιλομαθείαις
conceded other the first(-prizes) to-carry-off in-the both love-of-learning
καὶ ταῖς περὶ τὸ Θεῖον φροντίσιν; Ὧ γε καὶ ἡ βασιλεία
and in-the about the Divine cares to-whom at-least also the kingship
οὐδὲν ἦν ἕτερον ἢ βίβλοι, καὶ λογίων ἀνδρῶν ὁμιλίαι,
nothing was other than books and of-learned men conversations
καὶ τὸ εἰπεῖν τι καὶ ἀκοῦσαι παλαιὸν σπούδασμα.
and the to-say something and to-hear ancient pursuit

7 Εὐγένεια καὶ εὐσέβεια τῆς μητρὸς Κωνσταντίνου.
nobility and piety of-the mother of-Constantine

Τὰ δὲ τῆς μητρὸς (ἀλλὰ τίς ἄν μοι δώσει τὴν
the(-things) and of-the mother but who — to-me will-give the
Ἡροδότου γλυκύτητα, καὶ τὴν Ἀριστείδου πυκνότητα, ἵνα
of-Herodotus sweetness and the of-Aristides density that
μηδὲν ἀξιόλεκτον παραλείψαιμι;)· ἡ τοίνυν σοι μήτηρ
nothing worth-telling I-may-omit the therefore your mother
βασιλικὴ μὲν αὐτὴ καὶ πανολβίου τοῦ σπέρματος, οὐ
royal indeed herself and of-all-blessed the seed not
πατέρας μόνον λαμπροὺς καὶ πάππους καὶ ἐπιπάππους
fathers only illustrious and grandfathers and great-grandfathers
ἀριθμεῖν ἔχουσα, ἀλλὰ μυρίους ἐπὶ μυρίοις προγόνους
to-count having but countless upon countless ancestors
βασιλεῖς εὐτυχήσασα, καὶ βασιλικωτέραν δὲ τὴν ψυχὴν
kings having-been-fortunate-in and more-royal too the soul
ἐκ τῶν οἰκείων πράξεων ἐπιδείξασα· ἣν τὸ σεμνύνειν ἀπὸ
from the own deeds having-shown whom the to-honor from
τῆς βασιλείας, ἐκ τοῦ ἐλύτρου σεμνύνειν τὸν μαργαρίτην
the kingship from the husk to-honor the pearl
ἐστίν. Τί γὰρ αὐτῇ τὸ τῆς βασιλείας παράδοξον; Ἥτις
is what for to-her the of-the kingship marvel who
πάντα λογισαμένη σκύβαλα, κατὰ τὸν Ἀπόστολον,
all(-things) having-reckoned refuse according-to the Apostle

Χριστὸν μόνον κερδῆσαι εἵλετο, ὑφ᾽ οὗ καὶ θανάτου
Christ alone to-gain chose by whom also from-death
τῆς σαρκὸς ἀνερρύσθη, τὴν ἐν αὐτῷ κρυπτομένην ζωὴν
of-the flesh she-was-rescued the in him hidden life
ἀγαπήσασα· καὶ οὕτως ἀθρόον τὸ βασιλικὸν μὲν ὕψος
having-loved and thus all-at-once the royal indeed height
ἐνόμισε βάραθρον, τῆς δὲ κατὰ Χριστὸν ταπεινότητος
she-considered pit of-the and according-to Christ humility
ὕψος τῷ ὄντι οὐράνιον, ὥστε μᾶλλον μὲν τῆς μεταβολῆς
height in-the being heavenly so-that rather indeed of-the change
τὸ ἀθρόον θαυμάζεσθαι, μᾶλλον δὲ τοῦ ἀθρόου τὴν
the suddenness to-be-wondered-at rather and than-the suddenness the
ἐπὶ τὸ ἄκρον μετάστασιν. Τὸ γὰρ ἐπὶ τὸν μονήρη
to the summit removal the for to the solitary
βίον μετενεχθῆναι, πολλαῖς καὶ δὴ προσεγένετο· ἀλλὰ
life to-be-transferred to-many and indeed has-happened but
γυναικωδέστερον, ἀλλὰ μαλακώτερον· τὸ δ᾽ οὕτω θερμῶς
more-womanishly but more-softly the and thus warmly
πτωχεῦσαι τῷ πνεύματι, μόνης τῆς μακαρίας Μαρίας καὶ
to-be-poor in-the spirit of-only the blessed Maria both
σπούδασμα καὶ μελέτημα. Ἔτι τοίνυν αἱ μὲν ἄλλαι τάχα
pursuit and practice further therefore the indeed others perhaps
μυρίαις ἀνάγκαις ἐκβιασθεῖσαι, τὴν μοναχικὴν πολιτείαν
by-countless necessities having-been-forced the monastic life
ἐσχημάτισαντο, καί τινι κέντρῳ πρὸς τὸν ζυγὸν ὑπήχθησαν
assumed and by-some goad to the yoke were-led
ἄκουσαι· τὸ δὲ ἀκούσιον οὐδὲ πιστὸν, οὐδὲ μόνιμον· τῇ
unwilling the and unwilling neither faithful nor lasting for-her
δὲ καὶ τοῦτο μετὰ τῶν ἄλλων θαύματος πρόξενον, ὅτι
and also this with the others of-wonder procurer that
μηδενὶ διωκομένη δεινῷ, μηδένα τὸν ἐκβιαζόμενον ἔχουσα,
by-no being-pursued dread no-one the(-one) forcing having

ὅτι μὴ μόνον τὸν Χριστοῦ ἔρωτα, εἰς ὀσμὴν μύρων
except — only the of-Christ love to fragrance of-ointments
αὐτοῦ ἔδραμε, καὶ ἐν τῇ σκιᾷ αὐτοῦ ἐπεθύμησε καὶ ἐκάθισε.
his she-ran and in the shade his desired and sat
Καίτοι εἰ καὶ τὰς πένητι βίῳ συσπαργανωθείσας
and-yet if even the(-women) in-poor life swaddled-together
θαυμάζομεν, ὅταν ἕλωνται ταύτην τὴν ἀγωγὴν τοῦ
we-admire whenever they-choose this the conduct of-the
βίου τὴν σκληρὰν καὶ ταλαίπωρον, πόσον τὸ θαῦμα
life the hard and wretched how-great the wonder
τῇ δεσποίνῃ ὀφείλομεν, ἣ τρυφερῶς μὲν γεννωμένη,
to-the empress we-owe who delicately indeed born
τρυφερωτέρας δὲ τῆς διαγωγῆς καὶ τῆς ἄλλης ἀγωγῆς
more-delicate and the manner-of-life and the other upbringing
εὐμοιρήσασα, βίον ἀνθείλετο κατάπικρον καὶ κατάπονον! τὰ
having-enjoyed life chose-instead very-bitter and very-toilsome the
τρύχινα μὲν τοῖς μαλακοῖς ἀντιτάξασα· τὸ δὲ μέλαν καὶ
rags indeed against-the soft(-garments) having-set the and black and
πενθικὸν, τοῖς ὑπερλάμπροις στολίσμασι· ταῖς ἁβραῖς
mourning against-the very-splendid robes against-the dainty
δὲ διαίταις, τὸ ὀλιγόσιτόν τε καὶ ἄσιτον. Καὶ ἁπλῶς,
and diets the eating-little both and not-eating and simply
ὁδοὺς σκληρὰς διὰ τοὺς τοῦ Κυρίου λόγους ἐφύλαξε.
ways hard because-of the of-the Lord words she-kept
8 Τῆς μητρὸς Κωνσταντίνου ἐλεημοσύνη.
of-the mother of-Constantine almsgiving
Τάχα τοίνυν ἵσταταί τις πάλαι τῷ λόγῳ μεμφόμενος, ὅτι
perhaps therefore stands someone long-since the word blaming that
μὴ τὴν φιλανθρωπίαν διέξεισι καὶ τὸν ἔλεον. Ὁ δὲ λόγος
not the philanthropy it-goes-through and the mercy the and word
βούλεται μὲν καὶ αὐτὸς, ἀποδειλιᾷ δὲ πρὸς τοσοῦτον ἀφεῖναι
wishes indeed also itself shrinks and toward so-great to-let-go

πέλαγος. Ποίᾳ γὰρ ἂν καὶ λέξῃ δυνάμει πόσοις τὰς τοῦ
sea what for — also it-may-tell power how-many the of-the
λιμοῦ ἀγχόνας διέῤῥηξας, πόσων τὴν γύμνωσιν ἔθαλψας,
hunger halters you-broke how-many the nakedness you-warmed
πόσων παίδων ἀποβολὰς ἐπελάφρυνας, πόσους ἐπὶ πατέρων
how-many children losses you-lightened how-many upon of-fathers
στερήσεσι παρεκάλεσας, πόσαις ἀνδρῶν θανάτους ἐκούφισας;
bereavements you-comforted how-many of-husbands deaths you-lightened
Οὐδὲ τοῦτο τῆς Ἡσαΐου παρεῖδες φωνῆς, ὦ τρισολβία σὺ,
nor this of-the of-Isaiah you-overlooked voice O thrice-blessed you
τὸ κτεινομένους ἐκπρίασθαι· ἀλλ᾽ αὐχένων πολλῶν τὸ ξίφος
the being-slain to-ransom but from-necks many the sword
ἀπήγαγες, καὶ τὸ τοῦ θανάτου σκότος ἄρτι τοῖς ὀφθαλμοῖς
you-led-away and the of-the death darkness just-now on-the eyes
ἐκείνων ἐπιχεόμενον, ὁ τοῦ ἐλέους ἥλιος ἀπεσκέδασας.
of-those being-poured the of-the mercy sun you-scattered
Τῆς αὐτῆς λαμπραὶ ἐπιδόσεις οὐκ ἀλαζονικαί. 9
of-the same splendid givings not boastful
Οὐδ᾽ αἱ νυκτεριναί σου διαδόσεις λανθάνουσι, κἂν σὺ
nor the nightly your distributions escape-notice even-if you
λανθάνειν ἐσπούδασας· ἀλλὰ κἂν ἐν νυκτὶ γίνωνται, τὸ
to-escape-notice strove but even-if in night they-happen the
φῶς αὐτῶν διαλάμπει, κἀντεῦθεν ὁ Πατὴρ δοξάζεται
light their shines-through and-thence the Father is-glorified
ὁ οὐράνιος. Λανθάνει μέντοι ἡ δεξιά σου πρᾶξις τὴν
the heavenly escapes-notice however the right your deed the
ἀριστερὰν, καὶ τῆς ἐναντίας μερίδος. Τὸ μὲν γὰρ
left and of-the opposite portion the indeed for
ἐφαπλοῦσθαι τὸν ἔλεον, τῆς δεξιᾶς ἡ πρᾶξίς ἐστι·
to-spread-out the mercy of-the right the deed is
τὸ δὲ μὴ τἀγαθὸν ἐπιδείκνυσθαι, μηδὲ σαλπίζειν τὸ
the and not the-good to-display nor to-trumpet the

φιλανθρώπευμα, τοῦτό ἐστι λανθάνειν τὴν τῆς κενοδοξίας
kindness this is to-escape-notice the of-the vainglory
μοῖραν τὴν ἀποπεμπομένην εἰς γέενναν. Οὕτως ἐγὼ τοῦ,
portion the(-one) being-sent-off to Gehenna thus I the
Μὴ γνώτω ἡ ἀριστερὰ τί ποιεῖ ἡ δεξιά σου, συνίημι.
not let-know the left what does the right your understand
Κατά τινων ἀλαζονικῶς φιλοτίμων παρέκβασις.
against some boastfully ambitious(-men) digression
Καίτοι γε, τίς οὐκ οἶδεν ὡς ὁ νῦν καιρὸς περί τι
and-yet at-least who not knows that the present time about some
πρᾶγμα ἐνεωτέρισεν; οὐκ οἶδα μὲν ὅπως γενόμενον
matter has-innovated not I-know indeed how having-happened
(εὐξαίμην δ' ἂν ὀρθοῦ σκοποῦ τὸ πρᾶγμα καταστοχάζεσθαι),
I-would-pray and — of-right aim the matter to-hit
πλὴν τοῖς πολλοῖς σκανδάλου παραίτιον. Ἀρχαῖα μὲν γὰρ
but to-the many of-scandal cause ancient indeed for
ψυχῶν φροντιστήρια τῷ χρόνῳ κεκμηκότα, καὶ χειρὸς
of-souls schools by-the time worn-out and of-hand
ἀντιλαμβανομένης δεόμενα παρεώσαντο· καινίζονται δέ
taking-hold needing they-have-thrust-aside are-founded-new and
τινα νεαρά τε καὶ πρόσφατα ἐπὶ τοῖς τῶν καινουργούντων
some young both and fresh(-ones) upon the of-the innovators
ὀνόμασι· καὶ αὐτὸς ἕκαστος νεουργός τε εἶναι προθυμεῖται,
names and himself each new-builder both to-be is-eager
καὶ δεσπότης τοῦ νεουργήματος· ὥσπερ ἂν εἴ τις υἱὸν
and master of-the new-work as — if one son
περιορῶν νοσοῦντα ἀθεράπευτον, ζητοίη σύζυγον ἄλλην,
overlooking sick uncured should-seek wife another
ἵν' ἐξ ἐκείνης παιδοποιήσηται, μηδὲν ἔχων ἐγκαλεῖν
so-that from her he-may-beget-children nothing having to-charge
τῷ νοσοῦντι. Ἀβέλτερε ἄνθρωπε, καὶ νοσῶν ὄντως
against-the sick(-one) foolish man and being-sick truly

ἀνίατα, παῖδα ἔχων ἀγαθὸν, εἶτα τοῦτον ἐξὸν
incurably child having good then this(-one) it-being-possible
θεραπεῦσαι περιορῶν, ἑτέρου γάμου φροντίσιν ἑαυτὸν
to-cure overlooking of-another marriage to-cares yourself
ἐπιῤῥίπτεις, καὶ περιττοῖς προῖεσαι διαπονήμασιν!
you-throw and on-superfluous you-squander labors
Μαρίας Αὐγούστης λαμπραὶ ἐπιδόσεις. 11
of-Maria Augusta splendid givings
Ἀλλ᾽ οὐχ ἡ σὴ μήτηρ, ὦ βασιλεῦ, ἑάλω τοῖς τοιούτων
but not the your mother O emperor was-caught in-the of-such(-men)
δικτύοις· ἀλλὰ πάντας ἀνθρωπίνους λογισμοὺς διαπτύσασα,
nets but all human reasonings having-spat-upon
καὶ τὸ ἐπικαλέσασθαι τὸ ὄνομα ἐπὶ τῶν γαιῶν τοῖς γεηροῖς
and the to-call the name upon the lands to-the earthy(-ones)
ἀποῤῥίψασα, ναὸν ἑαυτῇ κατεσκεύασεν, οἷον ὁ ἀρχιτέκτων
having-cast-away a-temple for-herself built such-as the master-builder
Παῦλος ἡμῖν ὑποτίθεται, τῷ θεμελίῳ Χριστῷ, καὶ ἄργυρον
Paul to-us proposes on-the foundation Christ and silver
καὶ λίθους ἤδη τιμίους διὰ τῶν πενήτων ὡς ὑπουργῶν
and stones already precious through the poor as helpers
ἐποικοδομήσασα. Πολλὰ μὲν γὰρ καὶ τῶν πολιτῶν
having-built-on many(-things) indeed for also of-the citizens
τοῖς μάλιστα δεομένοις ἐλέους διένειμε· πολλοῖς
to-the(-ones) most needing mercy she-distributed with-many(-things)
δὲ καὶ τὸ μοναχικὸν ἐψυχαγώγησε σύνταγμα, ὅσον τε
and also the monastic she-cheered company as-much both
θῆλυ, καὶ ὅσον ἄῤῥεν, ἅπαν κατὰ τοῦ κοσμοκράτορος
female and as-much male all against the world-ruler
ἀνδριζόμενον. Οὐδὲ τὰς ἀντιπέρας νήσους ἀφῆκας ἐκτὸς
playing-the-man nor the opposite islands you-let-go outside
εἶναι τῆς σῆς κατασχέσεως, ἀλλὰ κἀνταῦθα τὸν σπόρον σου
to-be of-the your possession but also-there the seed your

ἔσπειρας, ὃν ἐν ἀγαλλιάσει καιροῖς ἰδίοις μὴ ἐκλυομένην
you-sowed which in exultation in-seasons own not fainting
θερίσεις. Ὥστε καὶ σὲ λέγειν δύνασθαι· Ἐγκαινίζεσθε
you-will-reap so-that also you to-say to-be-able be-renewed
πρός με, νῆσοι, τὴν ἄρτι γενομένην ὑμῶν σώτειράν
toward me islands the just-now having-become your savior
τε καὶ θρέπτειραν. Τὰ δ' εἰς τοὺς καθεκάστην
both and nurse the(-things) and to the(-ones) daily
παραβάλλοντάς σοι γινόμενα, πῶς μὲν ἕκαστον αὐτῶν
coming-to to-you happening how indeed each of-them
ὑποδέχῃ ὡς ἄγγελον Θεοῦ, ὡς Χριστὸν Ἰησοῦν· πῶς δὲ ἡ
you-receive as angel of-God as Christ Jesus how and the
δόσις μεθ' ἱλαρότητος· πῶς δὲ σὺν ταύτῃ καὶ ἡ δαψίλεια·
giving with cheerfulness how and with this also the abundance
τίς πάντα δυνατὸς ἐξηγήσασθαι; μᾶλλον δὲ τίς πᾶσιν
who all(-things) able to-relate rather and who all
ἐπιβαλλόμενος οὐ καταγέλαστος ἔσεται; Πρότερον μὲν γὰρ
attempting not laughable will-be sooner indeed for
ἄν τις ἀριθμήσῃ ποσάκις τῆς ἡμέρας ἀνέπνευσας, ἢ ποσάκις
— one could-count how-often in-the day you-breathed or how-often
ἠλέησας. Σοὶ γὰρ ἴσον τὸ ἀναπνεῖν καὶ τὸ ἐλεεῖν.
you-showed-mercy for-you for equal the to-breathe and the to-show-mercy
12 Τῆς αὐτῆς ἐπιτηδεύματα καὶ πολυμαθία.
of-the same pursuits and much-learning
Ἡ δὲ πραότης πόση! τὸ δὲ φιλομαθὲς ὑπὲρ πᾶσαν
the and gentleness how-great the and love-of-learning beyond all
ἀνθρωπίνην ὑπόληψιν. Ταύτην, ποία μὲν βίβλος καὶ τῶν
human supposition her what indeed book also of-the
πεπυκνωμένων καὶ στιβαρῶν διέφυγε, ποῖον δὲ πατρῷον
dense and solid escaped what and paternal
διήγημα; ἣν ποτὲ μὲν ἐν τοῖς τελεωτέροις ἐνδιαιτωμένην
narrative whom sometimes indeed in the more-perfect dwelling

εὑρήσει τις, οἷόν τινα τροφὴν στερεὰν προσιεμένην τὰ
will-find one as-if some food solid admitting the
δόγματα, ποτὲ δὲ τοῖς ἁπλουστέροις ἐνδιατρίβουσαν, ὡς
doctrines sometimes and in-the simpler lingering as
ἄνθεσι λειμῶνος ἐπιτερποῦς καὶ χαρίεντος. Καὶ συντόμως
in-flowers of-a-meadow delightful and graceful and briefly
εἰπεῖν, τῷ νόμῳ τοῦ Κυρίου νυκτὸς καὶ ἡμέρας ἐμμελετᾷ·
to-say in-the law of-the Lord by-night and by-day she-meditates
καὶ ἐγειρομένη καὶ περιπατοῦσα, καὶ ἐγειρομένη καὶ
and rising and walking and rising and
καθεζομένη, τὰ θεῖα μέτεισι λόγια, καὶ τρισσῶς ταῦτα
sitting the divine pursues oracles and threefold these
πλαξὶ καρδίας ἐναπογράφεται, ὡς Δαβὶδ, καὶ Μωϋσῆς,
on-tablets of-heart inscribes as David and Moses
καὶ Σολομὼν ἀπεφήναντο.
and Solomon declared

Τῆς τοῦ υἱοῦ αὐτῆς παιδείας ἀξιόλογος ἔννοια. 13
of-the of-the son her education noteworthy concern

Τί ἔτι; Καλὸν τεκνογονία, καὶ ἀγωγὴ παίδων ἐπαινετὴ
what more good childbearing and rearing of-children praiseworthy
καὶ θεάρεστος, καὶ τῇ μητρὶ ἀρκοῦσα πρὸς σωτηρίαν, εἴ
and pleasing-to-God and to-the mother sufficing for salvation if
τι δεῖ Παύλῳ πιστεύειν, τὰς μητέρας σώζεσθαι ἐκ τοῦ
at-all one-must Paul believe the mothers to-be-saved from the
τῆς τῶν παίδων ἐπιμελεῖσθαι σωφροσύνης ἐγγυησαμένῳ.
of-the of-the children to-care-for moderation having-guaranteed
Καὶ τίς οὕτω σεμνῶς ἡλικίαν παιδὸς ἐπισφαλῆ διεξάγει;
and who thus reverently age of-child perilous conducts
τίς δὲ πλείονας σωφρονιστὰς ἐφιστᾷ τῷ παιδὶ· τοὺς μὲν
who and more correctors sets-over the child the(-ones) indeed
γλῶτταν ἐξευγενίζοντας, τοὺς δὲ τὸν νοῦν καταρτίζοντας,
tongue ennobling the(-ones) and the mind perfecting

τοὺς δ' ἱστορίαν ἐρανίζοντας, πάντως δὲ πάντας τῷ
the(-ones) and history collecting surely and all to-the
νέῳ τι συνεισάγοντας; Ἐρυθριᾷς τοῖς ἐπαίνοις, ὦ
youth something bringing-in you-blush at-the praises O
περιστερὰ Κυρίου, καὶ καλὴ, καὶ τελεία· οὐκοῦν διὰ
dove of-(the)-Lord both fair and perfect therefore because-of
τοῦτο μᾶλλον ἀξιεπαίνετος. Οὐ γὰρ εὐφημητέος ὁ
this more praiseworthy not for to-be-lauded the(-one)
τοὺς ἐπαίνους θηρώμενος (ἀλαζὼν γὰρ), ἀλλ' ὑμνητέος
the praises hunting boaster for but to-be-hymned
μᾶλλον ὁ τούτους ὑποστελλόμενος· φιλόσοφος γάρ.
rather the(-one) them declining philosopher for

II · THE KING AND THE TYRANT

Theophylact warns Constantine that kingship brings shame without kingly virtues, and that pleasure must be driven out by toil. Of the three just constitutions and their three corruptions, he contrasts the tyrant, who seizes power in blood, impoverishes his subjects, and fears his wife and guards, with the king, who rules by consent and makes piety his foundation. Faithful friends are the king's best possession, flatterers his ruin. The emperor should share the soldiers' exercises, honor old soldiers, keep mimes from the palace, and use the sword sparingly.

1 Πανάθλιος ὁ βασιλεὺς ὁ ταῖς θεολήπτοις δωρεαῖς
all-wretched the emperor the(-one) the God-inspired gifts
καταχρώμενος.
misusing
Ἀκούεις, αὐτοκράτορ· οὐ γὰρ μάτην ταῦτά μοι
you-hear autocrator not for in-vain these(-things) by-me
ῥαψῳδηται, οὐδ' ἵνα κενὰ ψάλλων, τοῦτο δὴ τὸ
are-rhapsodized nor so-that empty(-things) singing this indeed the

τῆς παροιμίας· ἀλλ᾽ ἵνα δείξαιμί σοι πόσοις ἀγαθοῖς
of-the proverb but so-that I-might-show to-you with-how-many goods
παρὰ τοῦ Κρείττονος κεχορήγησαι, καὶ ὡς πάρεστί
by the Stronger you-have-been-furnished and how it-is-possible
σοι πάντως ὑπερβαλέσθαι τοὺς πώποτε αὐτοκράτορας,
for-you surely to-surpass the ever autocrators
τοσαύταις ἀφορμαῖς βοηθουμένῳ πρὸς τὸ καλόν. Τίς
by-so-many resources being-helped toward the good who
μὲν γὰρ ἔσται μακαριώτερος, εἰ τούτοις πᾶσι προσθείης
indeed for will-be more-blessed if to-these all you-add
τὸν κολοφῶνα τῆς σῆς ἀρετῆς; τίς δὲ ἀθλιώτερος, εἰ
the finishing-stroke of-the your virtue who and more-wretched if
ταῦτα καταρυπάνῃς διὰ τῶν σῶν μετέπειτα πράξεων;
these(-things) you-defile through the your afterward deeds
Ἡ βασιλικὴ ἀξία τῷ τῶν βασιλικῶν ἀρετῶν ἀποροῦντι, 2
the imperial dignity to-the(-one) of-the imperial virtues lacking
αἰσχύνη.
shame
Μὴ γὰρ οἷου τὴν βασιλείαν σοι πρὸς δόξαν συμβαλεῖσθαι,
not for think the kingship for-you toward glory to-contribute
εἰ μὴ καὶ τὸν τρόπον βασιλικὸν ἐπιδείξαις (ἐπεὶ οὕτω γε
if not also the character royal you-display since thus at-least
καὶ ὁ μαινόμενος Καμβύσης, καὶ ὁ θῆλυς Σαρδανάπαλος,
also the raving Cambyses and the effeminate Sardanapalus
Ἀριστείδου καὶ Ἐπαμεινώνδου λαμπρότεροι)· ἀλλὰ τοσούτῳ
than-Aristides and than-Epaminondas more-illustrious but by-so-much
μᾶλλον γελασθήσῃ τὴν βασιλείαν ὑβρίζων, ὅσῳ
more you-will-be-laughed-at the kingship outraging by-how-much
καὶ ὑβρίζεις περιφανέστερον. Ἰδιώτου μὲν γὰρ ἀλόγως
also you-outrage more-conspicuously of-a-private-man indeed for senselessly
βιώσκοντος, καὶ τοῖς τῆς ἀρετῆς νόμοις ἐμπαροινοῦντος,
living and the of-the virtue laws behaving-drunkenly-against

κἂν ὁ γειτονῶν ἀγνοήσειεν. Οὐ γὰρ εἰς πολλοὺς διαβαίνειν
even the neighbor might-not-know not for to many to-pass
τὴν ἰδιωτικὴν ἁμαρτάδα, ἀλλὰ τῷ οἰκιδίῳ ἐμπερικλείεσθαι
the private sin but in-the little-house to-be-enclosed
πέφυκε. Βασιλεὺς δ' οὐχ οὕτως· ἀλλὰ καὶ λογισάμενος
is-wont emperor and not thus but also having-considered
μόνον, ὡς ἁμαρτήσει, τοὺς πολλοὺς οὐ λήσεται.
only how he-will-sin the many not will-escape-notice

3 Τῶν ἀρετῶν ἕνεκα, καὶ οὐκ ἐνδυμάτων, ὁ Βασιλεὺς
of-the virtues for-the-sake and not of-garments the emperor
ἐπαινεῖται.
is-praised

Μηδὲ νόμιζέ σοι τὴν κατάχρυσον καὶ περιπόρφυρον
nor think for-you the gilded and purple-bordered
τήβενναν ὑπαγαγεῖν ἄνδρας θεράποντας Ἄρηος, ἄνδρας
toga to-subdue men servants of-Ares men
δεινὸν δερκομένους καὶ λεοντῶδες, εἰ μή σε καὶ
terribly glaring and lion-like if not you also
χαλκεοθώρακα βλέποιεν καὶ αὐτουργοῦντα τὸν πόλεμον.
bronze-breastplated they-see and with-own-hand-waging the war
Οὐ γὰρ ἐκπλήττεται Βάρβαρος ὁρῶν νυμφικῶς ἔχοντα,
not for is-astounded barbarian seeing bride-like being
ἀλλὰ καταγελᾷ χρυσοφοροῦντος ὡς παιδαρίου· καὶ
but laughs-at (him)-wearing-gold as little-boy and
διαπαίζων ὡς παιδικόν τε καὶ ἄναλκιν, οἴεται δικαίως,
mocking as childish both and feeble he-thinks justly
ὡς οὐδὲ κονδύλου πρὸς τὸν φόνον τούτου δεήσεται.
that not-even a-knuckle for the slaughter of-this-one he-will-need

Τῆς φιληδονίας καταφρονεῖν τῷ βασιλεῖ καθήκει. 4
the love-of-pleasure to-despise for-the emperor is-fitting
Εἰ δέ σου καὶ τῶν ἡδονῶν ἡ γοητεία κρατεῖ, καλός γε
if and over-you also of-the pleasures the witchery rules fine at-least
ἡμῖν ὁ αὐτοκράτωρ, καὶ τῶν ἄλλων βασιλεύειν ἐπάξιος! Ὃς
for-us the autocrator and the others to-rule worthy who
τρίδουλον ἑαυτὸν ταῖς ἀνελευθέροις ἡδοναῖς ὑποτέθεικε, πῶς
thrice-a-slave himself to-the slavish pleasures has-subjected how
ἄλλους παιδεύσει μὴ τοὺς νόμους δευτέρους ἡδονῆς τίθεσθαι;
others will-he-teach not the laws second to-pleasure to-place
πάνυ γὰρ ἑαυτὸν προσεπαίδευσε. Πῶς ἑτέροις ἡγήσεται
very for himself he-has-trained how others will-he-lead
πρὸς τὸ βέλτιον; οὐ γὰρ αὐτὸς τῶν νουθετητῶν κατακούει.
toward the better not for he the admonishers listens-to
Ἡ φιλοπονία τῷ βασιλεῖ πρέπουσα καὶ χρήσιμος. 5
the love-of-toil for-the emperor fitting and useful
Ἐξοριστέον σοι τοίνυν καὶ ἐκκοπτέον πάσῃ μηχανῇ
one-must-banish for-you therefore and one-must-cut-out by-every device
καὶ πυρὶ καὶ σιδήρῳ τὸ δεινότατον θηρίον τὴν ἡδονήν·
and by-fire and by-iron the most-terrible beast the pleasure
ἀντεισακτέον δέ σοι καὶ ἀντιτακτέον τοὺς πόνους,
one-must-bring-in-instead and for-you and one-must-set-against the toils
οἳ σωμασκοῦσι τοὺς αὐτοκράτορας, καὶ κατὰ τῶν
which train-the-body-of the autocrators and against the
ἀντιπάλων σοβαροὺς τρέφουσιν. Οὗτοι γὰρ καὶ τοῖς νέοις
adversaries formidable rear these for also for-the young
τὴν ἄνθην τῆς ἡλικίας οὐκ ἐῶσι μαραίνεσθαι, καὶ τοῖς
the bloom of-the age not allow to-wither and for-the(-ones)
γεγηρακόσι τὴν ἐκ τοῦ γήρως ἐπικουφίζουσι κάκωσιν,
having-grown-old the from the old-age lighten affliction
ἡλικιῶται τούτων ὄντες καὶ σύντροφοι.
contemporaries of-these being and foster-brothers

6 Τρία δόκιμα καὶ τρία ἄδεκτα τῆς κυβερνήσεως εἴδη.
three approved and three unacceptable of-the government forms
Ἀλλὰ γὰρ δεῦρο καὶ μάνθανε βασιλείας τύπον, ὡς
but for come-here and learn of-kingship type as
οἷόν τε συντομώτατον. Τρεῖς εἰσι πολιτειῶν καταστάσεις
able — most-concisely three are of-constitutions conditions
καθολικώτεραι· ὧν ἡ μὲν μοναρχία, καὶ ἔννομος
more-general of-which the indeed monarchy both lawful
καὶ βασιλεία καλεῖται, βάσις οὖσα λαοῦ καὶ στήριγμα,
and kingship is-called base being of-people and support
κατὰ τὸ ἔτυμον τοῦ ὀνόματος. Ἡ δ' ἐκ πολλῶν
according-to the etymology of-the name the(-one) and from many
μὲν ἀρχόντων, ἐνομωτάτων δὲ τούτων, συντέθειται·
indeed rulers most-lawful and these is-composed
ἀριστοκρατία ταύτῃ τὸ ὄνομα. Ἡ δέ τις τοῦ δήμου
aristocracy to-this the name the(-one) and a-certain of-the people
παντὸς συνδρομὴ πρὸς τὴν τῆς πολιτείας διοίκησιν, ἣν
whole concourse for the of-the commonwealth administration which
δημοκρατίαν ὠνόμασαν. Ἀντικάθηνται δὲ ταύταις ἕτεραι
democracy they-named are-set-against and these others
τρεῖς, τῆς ἀξίας ἐκβιαζόμεναι. Καὶ τὴν μὲν βασιλείαν
three of-the dignity forcing-out and the indeed kingship
τυραννὶς ἐνεδρεύει· τὴν δ' ἀριστοκρατίαν, ὀλιγοκρατία
tyranny lies-in-wait-for the and aristocracy oligarchy
τοξεύει, ὅταν πλούσιοί τινες καὶ βίαιοι τοὺς ἀρίστους
shoots-at whenever rich some and violent the best
ὑποκρινόμενοι ἄρχωσι· δημοκρατίαν δὲ ἡ ὀχλοκρατία
pretending-to-be rule democracy and the ochlocracy
ὁρᾷ ἀντιπρόσωπον, συγκεχυμένου τοῦ πλήθους συνέλευσις
sees opposite of-confused the multitude gathering

ἄνομός τε καὶ παντάπασιν ἄτακτος. Περὶ μὲν οὖν τῶν
lawless both and altogether disorderly about indeed then the
ἄλλων οὐδ' ὁτιοῦν διαλέξομαι.
others not-even anything-at-all I-will-discourse
Πρῶτον τυράννου τεκμήριον, τὸ βιαίως ἐπέρχεσθαι. 7
first of-tyrant proof the violently to-come-on
Τυραννίδος δὲ καὶ βασιλείας ἄκουσον τὰ γνωρίσματα·
of-tyranny and also of-kingship hear the tokens
Πρῶτον μὲν ὁ τύραννος ἐπὶ τὴν ἀρχὴν ἐκβιάζεται. Οὐ γὰρ
first indeed the tyrant onto the rule forces-his-way not for
ὑπὸ τῶν πολιτῶν τὰ χαλινὰ τῆς ἀρχῆς ἐκδέχεται, ἀλλ' αὐτὸς
from the citizens the reins of-the rule he-receives but himself
ἁρπάζει ταῦτα σφαγαῖς τε καὶ αἵμασι· τοιαῦτα μὲν αὐτῆς
seizes them with-slaughters both and bloodshed such indeed of-it
τὰ προοίμια, καὶ οὕτως ἐξ ἀρχῆς τοῖς αἵμασι περιραίνεται.
the preludes and thus from beginning with-the bloods it-is-sprinkled
Δεύτερον τυραννίδος σημεῖον, ἐς τῶν ὑποκειμένων 8
second of-tyranny sign into of-the subjects
ὑποστάσεις καὶ ἐλευθερίαν ἀπάνθρωπος καὶ ἐφύβριστος
substances and freedom inhuman and insolent
ἐγκατάσκηψις.
onslaught
Ἐπὰν δὲ εἰσέλθῃ πρὸς τὰ ἀνάκτορα, ποίας τὰς τελετὰς
when and he-enters into the palace what the rites
ἐκτελεῖ; Πάσας μὲν ἡδονὰς πρεσβεύει τοῦ σώματος,
does-he-perform all indeed pleasures he-honors of-the body
πάσας δὲ λύπας τοῖς ὑπηκόοις ἐπιτεχνάζεται, οὐδενὶ
all and griefs for-the subjects he-contrives in-no-one
πιστεύων, οὐδένα φίλον ἔχων, πάντας ἐχθροὺς καὶ
trusting no-one friend having all enemies both
ποιούμενος καὶ ἡγούμενος· τοὺς μὲν ἀγαθοὺς, ὅτι νομίζει
making and considering the indeed good because he-thinks

τούτων μισεῖσθαι· ἀγαθοὶ γὰρ ὄντως μισήσουσι τὸν
by-these to-be-hated good for truly will-hate the
ἀνόμοιον. Τοὺς δὲ πονηροὺς δι' αὐτὸ τοῦτο πάντως,
unlike the and wicked because-of it this surely
ὅτι πονηροὶ καὶ τῶν αὐτῶν ἐφιέμενοι· ἀγωνιᾷ γὰρ
because wicked also the same(-things) aiming-at he-is-in-anguish for
μή τις αὐτοῦ πονηρότερος τῇ ἀρχῇ ἐπιθήσοιτο. Ἀεὶ
lest someone than-him more-wicked the rule should-attack always
τοίνυν κόπτει τῶν ἀσταχύων τοὺς προὔχοντας, καὶ
therefore he-cuts of-the ears-of-grain the(-ones) prominent and
πάντας ἀπεργάζεται πένητας, καὶ πάντας ἀναγκάζει πενθεῖν
all makes poor and all compels to-mourn
καὶ κόπτεσθαι· ἵνα μὴ τρυφῶν τις, φησὶ, σχολάζῃ,
and to-beat-the-breast so-that not luxuriating someone he-says may-have-leisure
καὶ σχολάζων περιεργάζηται, καὶ περιεργαζόμενος φρονοίη
and having-leisure may-meddle and meddling may-plot
νεώτερα. Νόμους τε μεταπεττεύει καὶ μετατίθησιν,
new(-things) laws both he-shifts-like-game-pieces and alters
ἢ τῷ φιλοχρημάτῳ τῆς ψυχῆς, ἢ τῷ ἀκολάστῳ,
either to-the avaricious of-the soul or to-the licentious
πάντως δὲ πάθει τινὶ χαριζόμενος. Καὶ στρατιωτικὸν
surely and passion some gratifying and soldiery
μὲν οὐ τρέφειν οἶδεν ὑπὲρ τῆς πολιτείας, οὔτε συνίστησι·
indeed not to-maintain knows for the commonwealth nor sets-up
δορυφόρους δὲ περὶ αὐτὸν συναγαγὼν τοῦ σώματος
spearmen and around himself having-gathered of-the body
φύλακας, τούτους σιτίζει καὶ πιαίνει, κατὰ τῆς πολιτείας
guards these he-feeds and fattens against the commonwealth
τρέφων τοὺς σύμπαντας, καὶ πᾶσαν αὐτοῖς ἐφιεὶς τὴν
rearing the(-men) all-together and every to-them letting-go the
ἡνίαν σφάττειν, ἐξουθενεῖν, ἀτεκνοῦν.
rein to-slaughter to-despise to-make-childless

Τοῦ λαοῦ τυραννίδι ὑποκειμένου, ταλαιπωρία. 9
of-the people to-tyranny subject wretchedness
Τυράννου κρατοῦντος, καὶ γεωργὸς καρποῦται τὰ δάκρυα,
tyrant ruling also farmer reaps the tears
πόνοις μὲν καθ' ἡμέραν τρυχόμενος, ὑπὸ τυραννικῷ δὲ
by-toils indeed by day being-worn-out under tyrannical and
λαίλαπι συναρπαζόμενον ὁρῶν τὸ γεώργιον, καὶ τὴν τῆς
hurricane being-snatched-away seeing the farm and the of-the
λύπης βάτον ἀντὶ σταφυλῆς γεωργεῖ, κεντοῦσαν αὐτοῦ τὰ
grief bramble instead-of grape cultivates piercing his the
σπλάγχνα τῇ τῆς ἀκάνθης ὀξύτητι· καὶ τὸ δεινότερον,
inward-parts with-the of-the thorn sharpness and the more-terrible
ὅτι καὶ τοῖς ἐχθροῖς καὶ τοῖς οἰκείοις ἅρπαγμα γίνεται.
that both to-the enemies and to-the household plunder it-becomes
Ὁ θαλάσσιος δὲ τοῖς ἀνέμοις ἀρᾶται καὶ τῇ θαλάσσῃ,
the seafarer and the winds curses and the sea
ὅτι μὴ αὐτὸν κατεβύθισαν· οὕτω πικροτέρας θαλάσσης
because not him they-sank so of-more-bitter sea
καὶ τυραννικωτέρων ἀνέμων πεπείραται. Οἱ δὲ τῆς
and of-more-tyrannical winds he-has-had-experience the(-ones) and of-the
πολιτείας ἐπώνυμοι, οὗτοι μὲν πᾶσαν συμφορᾶς ὑπερβολὴν
commonwealth named-after these indeed every of-misfortune excess
παρελαύνουσιν, ὅσῳ καὶ συνοικοῦσι τῷ Μινοταύρῳ, καὶ
outstrip by-how-much also they-dwell-with — Minotaur and
πρὸς βρῶσίν εἰσι προχειρότατοι. Τοῦ μὲν γὰρ ὁ πλοῦτος
for eating are most-ready of-one indeed for the wealth
μετακομίζεται· τοῦ δὲ θυγάτηρ θαλαμευομένη σεμνῶς
is-carried-off of-another and daughter kept-in-the-chamber chastely
τὸ πρὶν, εἰς ὕβριν ἁρπάζεται· καὶ ὁ κρότους ἐξεγείρειν
the before to outrage is-snatched and the(-one) applause to-rouse
ἐλπίζων ἐπὶ τῇ παστάδι καὶ τοῖς νυμφεύμασιν, οἰμωγὰς
hoping at the bridal-chamber and the weddings wailings

ἀνεγείρει τὴν ὕβριν ἀνακλαιόμενος, καὶ δάκρυσι χαρμονῆς,
raises the outrage bewailing and for-tears of-joy
τῆς λύπης ἀντιχέει τὰ δάκρυα. Τοῦ δὲ γυνὴ πρὸς μισαρὰν
of-the grief pours-instead the tears of-another and wife to abominable
ἀπαγμένη κοίτην οἷον τὸ βέλος τῇ καρδίᾳ ἐμπήγνυσι! Κἂν
led-off bed like the arrow in-the heart fixes and-if
γρύξωσί τι ῥῆμα ἐλεύθερον, τὸ ξίφος εὐθὺς κατὰ σπλάγχνων
they-mutter some word free the sword at-once into inward-parts
βαπτίζεται. Τοῦτο μόνον ἡδὺ τοῖς ἐλεεινοῖς καὶ ἀσπάσιον,
is-dipped this only sweet to-the pitiable(-ones) and welcome
ὅτι τοιούτων θεαμάτων διὰ τοῦ ξίφους ἀπάγονται.
that from-such sights through the sword they-are-led-away
Φόβοι ἐναγώνιοι καὶ διηνεκὲς βάσανος τοῦ τυράννου.
fears agonizing and continual torment of-the tyrant
Ἐκεῖνο τὸ θηρίον ὁ τύραννος, οὐδὲ τὴν γυναῖκα ἡδέως
that the beast the tyrant not-even the wife gladly
βλέπει, οὐδὲ τὰ φίλτατα· ἀλλὰ καὶ ταύτην ὑποπτεύει καὶ
looks-at nor the dearest(-ones) but also her he-suspects and
συγκοιμωμένην τρέμει, καὶ τὸν ὕπνον ὑποφρίττει, μήπως
sleeping-with(-him) trembles-at and the sleep shudders-at lest-somehow
αὐτὸν τῷ ἀδελφῷ θανάτῳ παρακατάθηται· καὶ πᾶσι μὲν
him to-the brother death she-hand-over and to-all indeed
τοῖς ἄλλοις παρέχει τὴν εὐφροσύνην ἡ τράπεζα· ὁ δὲ
the others provides the good-cheer the table he and
τότε μάλιστα πέφρικε, μὴ δηλητήριόν τι τοῖς βρώμασιν
then most shudders lest poison some in-the foods
ἀναμέμικται, μὴ τὸ ποτήριον αὐτοῦ, θανάτου ποτήριον
has-been-mixed lest the cup his of-death cup
γένηται. Οὐδὲ τοῖς δορυφόροις ἔχει πιστεύειν ὁ ἀλιτήριος.
become nor the spearmen can trust the wretch
Πόθεν; οἷς τῶν ἄλλων μάλιστα δέδοικεν, ὅσῳ καὶ
whence whom than-the others most he-fears by-how-much also

ξιφοφοροῦσιν ἔγγιον. Ἀεὶ γὰρ ἐννοεῖ, μήπως, οὐχ ὑπὲρ
bearing-swords nearer always for he-thinks lest-somehow not for
ἑαυτοῦ, κατ᾽ αὐτοῦ δὲ τοῖς ξίφεσι χρήσωνται. Κατὰ μὲν
himself against him and the swords they-use against indeed
γὰρ τῶν ἄλλων ὁπλίζει τούτους, κατὰ δὲ τῶν δορυφόρων
for the others he-arms these against and the spearmen
οὐκ ἔχει τίνας ὁπλίσειεν. Ἄξιός γε ὁ τρόμος οὗτος
not he-has whom he-might-arm worthy at-least the trembling this
τυραννικοῦ καὶ ἀπίστου φρονήματος. ὡς οὐκ ἔστιν ᾧ
of-tyrannical and faithless mind as not there-is by-which
ἄν τις ποινηλατήσῃ πλέον τὸν τύραννον, ἢ ὅσον
— someone may-punish more the tyrant than as-much-as
αὐτὸς ἑαυτὸν τιμωρεῖται τοιαύταις ἀνάγκαις ἐγκαταστήσας.
he himself punishes in-such necessities having-placed(-himself)
Εἰρηνικὴ τοῖς ὑποκειμένοις καὶ χαροποιὰ τοῦ δικαίου 11
peaceful for-the subjects and joy-making of-the just
βασιλέως ἡ εἴσοδος.
emperor the entrance
Εἶδες τὴν τυράννου μορφὴν, ὡς βδελυρά τε καὶ
did-you-see the of-tyrant form how loathsome both and
ἀποτρόπαιος; ὅρα λοιπὸν καὶ τὸ τοῦ βασιλέως κάλλος,
abominable see now also the of-the emperor beauty
ὡς ποθητὸν, ὡς ἐράσμιον ἄντικρυς, οἷον τὸ σὸν, εἴ γε
how longed-for how lovely outright such-as the yours if at-least
βούλοιο. Καίτοι τρόπον μέν τινα καὶ τὴν βασιλείαν
you-should-wish and-yet in-a-way indeed some also the kingship
συνεζωγράφησα οἷς ἔγραψά σοι τὸν τύραννον. Καὶ γὰρ
I-painted-alongside in-what I-drew for-you the tyrant and for
ἐναντίος ἂν εἴη ἐκείνῳ οὗτος ὁ βασιλεύς· πλὴν ὀλίγα
opposite — would-be to-that-one this the emperor but few
τινὰ προσεπιβάλλω τούτῳ τὰ χρώματα. Καὶ πρῶτον
some I-add to-this the colors and first

ὅρα τοῦτον εὐθὺς ἐναντία τῷ τυράννῳ ζωγραφοῦντα τὰ
see this-one at-once opposite to-the tyrant painting the
πρόθυρα· καὶ οὐ βίᾳ τὴν ἀρχὴν κτώμενον, οὐδὲ τὸν
porch and not by-force the rule acquiring nor the
πέπλον αἵματι βάπτοντα· ἀλλ᾽ εὐνοίᾳ πλήθους καὶ λαοῦ
robe in-blood dipping but by-goodwill of-multitude and of-people
συνδρομῇ καὶ σώφρονι καὶ εὐγνώμονι. Ἀρετῆς γὰρ ἆθλον
by-concourse both sober and right-minded of-virtue for prize
τὴν βασιλείαν ἐκδέχεται, καὶ πάντες ἀποχωροῦσι τῶν
the kingship be-receives and all yield of-the
κρειττόνων τῷ κρείττονι. Οὕτω κἂν μελίσσαις ὁ βασιλεὺς
better(-ones) to-the better thus even among-bees the king
αὐτοφυής ἐστι, καὶ πᾶν τὸ πλῆθος ἡγεμόνα τοῦτον
self-grown is and all the multitude leader him
πεποίηται. Οὕτω μὲν αὐτῷ τὰ τῆς βασιλείας προαύλια,
has-made thus indeed for-him the of-the kingship forecourts
ὡς ἱλαρὰ καὶ εὐπρόσιτα, οὐ σκυθρωπὰ καὶ δυσέντευκτα.
how cheerful and accessible not sullen and hard-of-access
Βαίνωμεν δὲ ἤδη προσωτέρω, καὶ τὴν βασιλείαν θεώμεθα.
let-us-go and now further and the kingship let-us-view
12 Ἡ εἰς ἄκρον θεοσέβεια, τῷ βασιλεῖ χρειώδης καὶ
the to summit piety for-the emperor needful and
καρποφόρος.
fruitful
Οὐκοῦν ὁ ἀληθὴς βασιλεὺς εἰδὼς, ὅτι καθάπερ
therefore the true emperor knowing that just-as
οἰκίας καὶ νεὼς δεῖ τὰ κάτω ἀσφαλέστερα
of-house and of-ship must the(-parts) below more-secure
εἶναι, οὕτω δὴ καὶ τὴν βασιλείαν προσήκει βαίνειν
be thus indeed also the kingship it-befits to-walk
ἀσφαλῶς, τὴν εὐσέβειαν ποιεῖται θεμέλιον. Οὕτω
securely the piety makes foundation thus

μὲν εὐσεβὴς ὢν, ὡς μηδὲ τοῖς ἱερεῦσι πρωτείων
indeed pious being so-as not-even to-the priests of-first-place
παραχωρεῖν· οὕτω δὲ πάντα ποιῶν καὶ λέγων, ὡς
to-yield thus and all(-things) doing and saying as
Θεὸν εἰδὼς πάντων ἔφορον καὶ πάντων ἐπήκοον.
God knowing of-all overseer and of-all hearer
Φιλόθεος δὲ ὢν, ἀναγινώσκεται ὡς ἔστι θεοφιλής·
God-loving and being he-is-recognized as he-is God-beloved
φιλῶν γὰρ Θεὸν, ὑπὸ Θεοῦ φιληθήσεται. Ὅθεν αὐτῷ
loving for God by God he-will-be-loved whence for-him
τὰ πάντα ἔσται Θεὸς καὶ πατὴρ καὶ ἀδελφὸς, καὶ
the all(-things) will-be God both father and brother and
στρατιώτης, καὶ σύμμαχος, ἐν πολέμῳ κατορθῶν
soldier and ally in war achieving
καὶ συνεγείρων τὰ τρόπαια· ἐν εἰρήνῃ τὰ
and raising-together the trophies in peace the(-things)
τῆς εὐνομίας συμπροθυμούμενος. Τίς οὖν ὀλβιώτερος
of-the good-order sharing-zeal-for who then more-blessed
τοῦ τὸν Θεὸν φίλον ἔχοντος; τίς μᾶλλον ἐν
than-the(-one) — God friend having who more in
ταῖς μάχαις ἀήττητος; τίς ἐκεχειρία εἰρηνικωτέρα;
the battles unconquered what truce more-peaceful
Τῷ ὄντι γὰρ κινδυνεύει μόνος οὗτος τοῦ κόσμου
in-the being for is-likely alone this-one of-the world
βασιλεύειν παντός. Εἰ γὰρ Θεοῦ μὲν ὁ κόσμος,
to-rule whole if for of-God indeed the world
ἐκεῖνος δὲ Θεοῦ φίλος ἀνωμολόγηται, τὰ δὲ τῶν
he and of-God friend is-agreed the(-things) and of-the
φίλων κοινά· δεσπότης ἔσται τοῦ κόσμου βασιλεὺς ὁ
friends common master will-be of-the world emperor the
θεοφιλέστατος.
most-God-beloved

13 Ὅτι φίλοι πιστοὶ τῆς βασιλείας, ὀρθῶς πολιτεύεσθαι
that friends faithful of-the kingship rightly to-govern
μελλούσης, ἀναγκαῖον ὄργανον τυγχάνουσιν.
being-about necessary instrument happen-to-be
Πῶς οὖν τοῖς σύμπασιν ἐπιστήσεται; πῶς τοῖς ἑκασταχοῦ
how then the all will-he-oversee how the everywhere
πραττομένοις παρέψεται, καὶ ἐπόψεται, καὶ τὸν μὲν
being-done will-he-follow and will-he-inspect and the(-one) indeed
ἐπαινέσει, τῷ δὲ προσμέμψεται, τὸ δὲ διορθώσεται;
will-praise the(-one) and will-blame the(-thing) and will-correct
Πῶς ταῦτα πάντα, βούλει μαθεῖν; Διὰ τοῦ τῶν
how these(-things) all you-wish to-learn through the of-the
φίλων πτερωτοῦ ἅρματος. Αὐτὸς μὲν γὰρ εἷς ἐστι,
friends winged chariot he indeed for one is
πολλαπλάσιος δὲ διὰ τῶν φίλων γίνεται.
manifold and through the friends becomes
14 Τῶν βασιλέων τὸ ἐν καλοῖς ἄκρον καὶ μέγιστον, οὗ
of-the emperors the in good(-things) highest and greatest which
τῶν ἄλλων οἱ πλεῖστοι ἀμοιροῦσιν, οἱ φίλοι ὑπάρχουσιν.
of-the others the most lack the friends are
Ἀλλ' ἐπειδὴ φίλων ἐμνήσθην, ἀναδιδάξω σέ τι περὶ
but since friends I-mentioned I-will-teach you something about
τούτων πλατύτερον. Πολλῶν γὰρ ὄντων τῇ βασιλείᾳ
these more-broadly many for being for-the kingship
καλῶν, οὐδὲν τοιοῦτον ὡς τὸ τοῦ φίλου πρᾶγμα καὶ ὄνημα.
good(-things) nothing such as the of-the friend thing and benefit
Τύραννος μὲν γὰρ τῷ φόβῳ περιστοιχίζεται, καὶ τὰς
tyrant indeed for with-the fear is-hemmed-round and the
ἀπειλὰς ἔχει, καὶ τοὺς ἑκάστοτε φόνους, στερρόν τι καὶ
threats he-has and the at-each-time murders firm some and
ἀκαθαίρετον πρόβλημα. Σὺ δὲ ἀλλὰ τῇ φιλίᾳ τειχίζου,
unassailable bulwark you and rather with-the friendship wall-yourself

καὶ τῇ εὐνοίᾳ μάλιστα πάντων φράττου. Οὐδὲν γὰρ οὕτω
and with-the goodwill most of-all fence-yourself nothing for so
ἀσθενὲς ὡς ὁ παρὰ πολλῶν μισούμενος ἄνθρωπος, κἂν
weak as the by many being-hated man even-if
ὑπὸ πολλῶν δορυφόρων φυλάττηται. Προσκυνεῖ μὲν ἴσως ὁ
by many spearmen he-be-guarded does-obeisance indeed perhaps the
πολίτης, καὶ μεγαλύνει καὶ εὐφημεῖ, καὶ προσθήκην ἡμερῶν
citizen and magnifies and acclaims and addition of-days
αἰτεῖται παρὰ τοῦ Κρείττονος· ἀλλ' ἡ γλῶσσα ὀμώμοχ', ἡ
asks from the Stronger but the tongue has-sworn the
δὲ φρὴν ἔστ' ἀνώμοτος· καὶ τὰ χείλη μὲν ἐδίηνεν, ὑπερώην
and mind is unsworn and the lips indeed he-wet palate
δ' οὐκ ἐδίηνε. Καὶ δέδοικε μὲν ἐξειπεῖν, ὅτι μισεῖ καὶ
and not he-wet and fears indeed to-speak-out that he-hates and
βδελύττεται καιροῦ δὲ λαβόμενος, οὐ λόγοις, ἀλλ' ἔργοις
loathes opportunity and having-seized not by-words but by-deeds
τὸ μῖσος δείκνυσι, καὶ τῶν ἡπάτων ὠμῶν ἀπογεύεται.
the hatred shows and of-the livers raw tastes
Εἰλικρινοῦς πρὸς βασιλέα φίλου ὑπηρεσία. 15
of-sincere toward emperor friend service
Ἀλλ' οὐχ ὁ φίλος οὕτω· νυκτὸς δὲ καὶ ἡμέρας τοῦ φίλου
but not the friend thus by-night and also by-day of-the friend
βασιλέως φροντίζει, καὶ ταῖς ὑπὲρ ἐκείνου κάμνει μερίμναις·
emperor takes-thought and in-the for him toils cares
οὐχ ὅπως κερδάνῃ, τοῦτο μόνον σκοπῶν. καὶ τὴν ἀρχὴν
not how he-may-gain this only aiming-at and the office
ἐκκαρπώσηται· ἀλλ' ὅπως ὀραρότως ἕξει τῇ βασιλείᾳ τὰ
may-reap-the-fruit-of but how rightly will-be for-the kingship the
πράγματα· καὶ λυπήσει μικρὸν, ἵνα μεῖζον εὐφράνῃ· καὶ
affairs and will-grieve little that more he-may-gladden and
δριμύξεται τοῖς ῥήμασιν, ἵνα γλυκάνῃ τοῖς πράγμασιν·
will-be-sharp with-the words that he-may-sweeten with-the deeds

οὐχ ὑποκλινόμενος τοῖς τοῦ βασιλέως θελήμασιν, οὐδὲ
not bending to-the of-the emperor wishes nor
σκιᾶς ἔργον ποιῶν, καὶ συνεπινεύων τοῖς νεύμασι,
of-shadow work doing and nodding-along-with the nods
καὶ συγκινούμενος τοῖς κινήμασιν· ἀληθὴς δὲ ὤν, καὶ
and moving-with the movements true and being and
αὐθέκαστος, καὶ τὰ τοῦ φίλου δι' ἀγάπην ἐξιδιούμενος.
straightforward and the(-things) of-the friend through love making-his-own
16 Τῶν κολακευόντων τὴν βλάβην ὁ βασιλεὺς φευγέτω.
of-the flatterers the harm the emperor let-flee
Καὶ μέντοι καὶ βασιλεὺς οὐ βαρὺν σωφρονιστὴν, ἀλλὰ γλυκὺν
and moreover also emperor not heavy corrector but sweet
νουθετητὴν τὸν φίλον οἰήσεται· καὶ τοῖς μὲν κολακεύουσιν
admonisher the friend will-think and at-the indeed flatterers
ὡς ἐχθραίνουσιν ἐμπικρανεῖται, καὶ βαρὺ συνάξει τὸ
as hostile(-ones) will-be-embittered and heavy will-contract the
ἐπισκύνιον. Τῷ ὄντι γὰρ οἱ τῆς κολακείας θεραπευταὶ
brow in-the being for the of-the flattery servants
θανάσιμον κιρνῶσι μελίκρατον· καὶ φιλοῦσιν, ἀλλὰ καὶ
deadly mix honey-drink and kiss but also
δάκνοντες· καὶ σαίνουσιν, ἀλλὰ καὶ σπαράττοντες· καὶ μέλι
biting and fawn but also tearing and honey
μὲν ἀποστάζουσιν, ἀλλὰ πικροτέρας χολῆς τὰς ἀναδόσεις
indeed drip but more-bitter than-gall the givings-forth
ποιούμενον. Τούτοις μὲν οὔτε τὰς τῶν βασιλείων ἀναπετάσει
making to-these indeed neither the of-the palace he-will-open
θύρας, οὔτε τὰς τῶν ὠτίων· ἀλλ' ὡς Σειρῆνας παραπλεύσεται
doors nor the of-the ears but as Sirens will-sail-past
κηρῷ καὶ λόγοις σοφοῖς τὰς ἀκοὰς ἐμφραξάμενος.
with-wax and with-words wise the hearing having-stopped-up

Τῶν φίλων ταῖς νουθεσίαις τὸν βασιλέα πειθαρχεῖν καὶ 17
of-the friends to-the admonitions the emperor to-obey and
ὑπομένειν πρέπει.
to-endure befits
Τοῖς δὲ φίλοις ἑαυτὸν παρέξει καὶ τέμνειν καὶ καίειν
to-the and friends himself he-will-offer both to-cut and to-burn
ὡς ἰατροῖς ἐπιστήμοσι, καὶ πάντα τὸν ἑαυτοῦ
as to-physicians skilled and every the(-one) than-himself
συνετώτερον εἰσκαλέσει πρὸς τὰ βασίλεια, καὶ πολλοὺς
more-intelligent will-call-in to the palace and many
ἐκ τῆς γωνίας ἀνασπάσει πρὸς τὰ μειράκια ψιθυρίζοντα,
from the corner will-draw-up toward the youths whispering
οἷς παραδοὺς ἑαυτὸν δεξαμενὴν τὴν ἑαυτοῦ καρδίαν
to-whom having-handed-over himself receptacle the his heart
ποιήσεται, πᾶν δεχομένην κάλλιστον χώρημα.
he-will-make every receiving finest content
Ποῖον τρόπον χρηστοὺς φίλους ὁ βασιλεὺς δοκιμάσει. 18
in-what way good friends the emperor will-test
Τούτους μέντοι τοὺς φίλους ἐπιστήσει ταῖς τῶν πόλεων
these however the friends he-will-set-over the of-the cities
διοικήσεσι, πάντως πεῖραν λαβὼν αὐτῶν ὅτι καλῶς
administrations surely trial having-taken of-them that well
ἐπιστήσονται. Τίς δὲ ἡ πεῖρα; Καί μοι συνακολούθει
they-will-preside what and the trial and to-me follow
τῷ λόγῳ προσεκτικώτερον· τάχα γάρ σοι παραδώσω
the word more-attentively perhaps for to-you I-will-hand-over
τὴν λίθον τὴν χρυσογνώμονα· Τρία ταῦτα περὶ τὴν
the stone the gold-testing three these about the
πεῖραν ταύτην ἔχομεν θεωρεῖν· ἄνθρωπον, οἶκον, καὶ
trial this we-have to-consider man house and
πόλιν. Πρῶτον μὲν οὖν σκόπει τὸν ἄνθρωπον, εἰ
city first indeed then examine the man whether

τὸ οἰκεῖον ἦθος κατήρτισεν· ὡς μήτε τὸν θυμὸν,
the own character he-has-perfected so-that neither the anger
μήτε τὴν ἐπιθυμίαν, τὰ δοῦλα ταῦτα καὶ ὑποχείρια
nor the desire the slavish these and subject
τοῦ λογισμοῦ καταστῆσαι ἐγκρατῆ τε καὶ κύρια.
of-the reason to-make masters both and lords
Κἀπειδὰν εὕρῃς τοιοῦτον, ἐπὶ τὴν τοῦ οἴκου διοίκησιν
and-when you-find such to the of-the house administration
ἀναβίβασον· εἰ δὲ καὶ περὶ ταύτην εὕρῃς εὐδόκιμον,
raise-up if and also about this you-find approved
πρὸς ἄλλον αὐτὸν ἀναβαθμὸν ὕψωσον, καὶ πόλεως
to another him step exalt and of-city
διοίκησιν πίστευσον. Ὁ γὰρ μὴ ἑαυτὸν ἰθύνας,
administration entrust the(-one) for not himself having-straightened
πῶς οἴκου κατὰ τὸ δέον ἐπιστατήσειεν; Ὁ μὴ
how of-house according-to the needful would-he-preside the(-one) not
οἶκον εὐθετήσας, πῶς πόλιν ἰθύνειεν; Οὗτος ἔστω σοι
house having-ordered how city would-he-steer this let-be for-you
γνώμων τῶν ἀρχόντων ἀπαραλόγιστος, καὶ τοὺς ἐν τοῖς
rule of-the rulers infallible and the(-ones) in the
εἰδικωτέροις δοκιμασθέντας, ταῖς κοιναῖς προσάγαγε
more-particular(-things) having-been-tested to-the common bring-forward
διοικήσεσιν. Ὁ γὰρ ἐν ὀλίγῳ πιστὸς, καὶ ἐν πολλῷ
administrations the(-one) for in little faithful also in much
πιστός ἐστιν, ὡς ἐμάθομεν· ὥσπερ εἴ τις τοῦ οἴκου οὐκ
faithful is as we-learned just-as if one of-the house not
οἶδε προΐστασθαι, οὐδ' Ἐκκλησίαν αὐτῷ παραδίδωσιν ὁ
knows to-preside not-even church to-him hands-over the
Ἀπόστολος.
Apostle

Τῆς τοῦ βασιλέως εὐνοίας ἡ δοκιμασία τὰ τῶν ὑποκειμένων 19
of-the of-the emperor goodwill the testing the of-the subjects
ἐπιτηδεύματα θαυμασίως καθέλκει.
pursuits wonderfully draws-down
Τοιοῦτοι δ' ὄντες οἱ ἄρχοντες, ταχέως τὴν βασιλείαν
such and being the rulers quickly the kingship
αὐξήσουσι πρὸς τὸ βέλτιον, πολλοὺς καὶ ἄλλους ἑαυτῶν
will-increase toward the better many also others than-themselves
ὁμοίους ἐξεργασάμενοι. Φιλεῖ γὰρ τὸ παρὰ βασιλέων
like having-produced is-wont for the(-thing) by emperors
σπουδαζόμενον αὔξεσθαι, κἂν φιλορήτωρ ὁ αὐτοκράτωρ,
being-pursued to-increase even-if fond-of-orators the autocrator
βαβαὶ τῆς τῶν σοφιστῶν ἐπομβρίας! περιχεῖται τοῖς
ah of-the of-the sophists showers is-flooded with-the
ἀναγνώσμασι τὰ ἀνάκτορα. Κἂν δόξῃ φιλοσοφίᾳ
readings the palace and-if he-seem to-philosophy
προσέχειν, καὶ περὶ τὰ μαθήματα στρέφεσθαι, παρὰ τὰς
to-attend and about the lessons to-be-occupied at the
βασιλικὰς θύρας οἱ τοῦ Πλάτωνος γέμοντες, καὶ
imperial doors the(-ones) — of-Plato full and
οὐδὲ τοῖς τὰς πύλας τηροῦσιν ὁ Ἀρχιμήδης, ὁ
not-even to-the(-ones) the gates guarding — Archimedes —
Εὐκλείδης, ὁ Ὑψικλῆς ἀνεπίγνωστοι. Ἂν δὲ φίλιππος
Euclid — Hypsicles unrecognized if and horse-loving
νομισθῇ, στενοχωρεῖται τὰ βασίλεια Νησαίοις ἵπποις καὶ
he-be-thought is-crowded the palace with-Nisaean horses and
Ἰταλοῖς.
Italian

20 Ὅτι ἀνάξιον καὶ ζημίας αἴτιον τοὺς ἀδίκους παρὰ τῷ
that unworthy and of-loss cause the unjust by the
βασιλεῖ εὐδοκιμεῖν.
emperor to-be-in-favor
Καὶ τοίνυν μὲν τοὺς μετιόντας ἀρετῆς οὐκ οἶδεν οὐδὲ
and therefore indeed the(-ones) pursuing virtue not he-knows nor
ὅποι γῆς διατρίβουσιν, οὐδὲ ψιλὴν θέαν τούτοις παρέχεται.
where on-earth they-spend-time nor bare sight to-these he-offers
Ἀνθρώπους δὲ κακοηθείας πάσης περιφανῆ ἐργαστήρια,
men and of-malice every conspicuous workshops
καὶ ἀξιώμασι δωρεῖται, καὶ δεξιώμασι, καὶ τούτους ταῖς
and with-dignities he-presents and with-welcomes and these on-the
πόλεσιν ἐπαφίησι, κερδῶν ἀδίκων ἐμπόρους, καὶ ῥυπαρῶν
cities he-lets-loose of-gains unjust merchants and of-filthy
λημμάτων προσαγωγῆς· καὶ δίδωσι τούτοις καταμαγειρεύειν
takings bringers-in and gives to-these to-butcher
τὰ πρόβατα, μόνον εἰ αὐτῷ τὰ λιπαρώτερα φέροιεν· καὶ
the sheep only if to-him the fatter(-parts) they-bring and
πάντα συμφύρει θεῖα καὶ ἀνθρώπινα δίκαια, μόνον εἰ
all(-things) mixes-up divine and human just only if
ὀβολὸν ἀναδέξαιτο. Ὀκνῶ μὲν ἐγὼ τοῦτο· Πέρσαι δ'
an-obol he-receive I-shrink indeed I this Persians and
ἂν κάπηλον εἴποιεν, ὥσπερ ἐκεῖνον Δαρεῖον. Τάχα δὲ
— huckster would-call as that Darius perhaps and
οὐδὲ κάπηλον (φιλανθρωπότατον γὰρ, εἰ καὶ ἀνελεύθερον
not-even huckster most-humane for if even illiberal
τοὔνομα), ἀλλὰ ληστὴν καὶ μιαιφόνον καὶ ἵν' οὕτως
the-name but robber and murderer and that so
εἴπω, τρισαλιτήριον, ἵνα μόνον κερδάνῃ τοὺς ἄλλους
I-may-say thrice-accursed that only he-may-gain the others

φονεύοντα, καὶ θλίψεις τοῖς ὑπηκόοις πραγματευόμενον,
murdering and afflictions for-the subjects contriving
ἵν᾽ αὐτὸς ἀφθόνως ἐνυβρίζῃ ταῖς ἡδοναῖς.
that he unstintingly may-wanton in-the pleasures
Τῇ πολιτείᾳ, ὃν τρόπον τῇ νηΐ τὸν κυβερνήτην, 21
to-the commonwealth in-what way to-the ship the helmsman
προσέχειν χρή.
to-attend it-is-needful
Δεῖ δὲ οὐχὶ τῶν ἡδονῶν πλέον ἔχειν τὴν βασιλείαν,
it-is-needful and not of-the pleasures more to-have the kingship
τῶν δὲ πόνων καὶ τῶν φροντίδων τὸ βάρος ἐθελοντὴν
of-the and toils and of-the cares the weight willingly
ἀνατίθεσθαι. Ἢ οὐχ ὁρᾷς καὶ τὸν κυβερνήτην, ὅπως ἀεὶ
to-take-up or not you-see also the helmsman how always
ἐνεργός ἐστι, καὶ τῶν ἄλλων ἡδὺ καθευδόντων, καὶ βαθὺ
active he-is and the others sweetly sleeping and deep
κῦμα διαγόντων, αὐτὸς τῇ ἀγρυπνίᾳ προστέτηκε; κἂν
wave passing he to-the wakefulness is-wasted-away even-if
ἡμέρας ὑπνώσῃ καιροῦ δραξάμενος, ταῖς διακοπαῖς ὁ
by-day he-sleep of-opportunity having-grasped by-the interruptions the
ὕπνος εἰς γρήγορσιν αὐτῷ περιίσταται· ὥστε πυκνῶς αὐτὸν
sleep into wakefulness for-him turns so-that often him
λέγειν· Τὴν ὀθόνην περίστειλον, τὸν πόδα ἐξάπλωσον,
to-say the sail furl the sheet let-out
τὸ πηδάλιον περιάγαγε, ἀλλὰ τρίζει τὸ κέρας, ἀλλὰ
the rudder turn-round but creaks the yard but
προβλῆτα σκόπελον ἔκφυγε· καὶ σχεδόν τι πλέον
jutting crag escape and nearly something more
ἐνεργεῖ τῶν ἐγρηγορότων αὐτὸς καὶ κοιμώμενος.
is-active than-the(-ones) awake he even sleeping

Πόνοις οὖν ὁ βασιλεὺς ἑαυτὸν ἐκδότω, μὴ τρυφῆς
with-toils then the emperor himself let-him-give-over not of-luxury
χωρίον, ἀλλὰ φροντίδων τὴν βασιλείαν ποιούμενος.
place but of-cares the kingship making
22 Ὅπως τῶν πολεμικῶν διαχειρίζειν καὶ ἐν αὐτοῖς
how the warlike(-things) to-manage and in them
πολιτεύεσθαι τῷ βασιλεῖ ἀναγκαῖον.
to-conduct-oneself for-the emperor necessary
Καὶ τοὺς μὲν πολέμους αὐτὸς ἐνεργείτω, πᾶσι
and the indeed wars himself let-him-conduct at-all(-things)
παρὼν, καὶ πάντα θεώμενος. Οὐ μέντοι γε τοῖς
being-present and all(-things) viewing not however at-least to-the
κινδύνοις ἑαυτὸν παραλόγως προήσεται· οὔτε στρατιώτου
dangers himself unreasonably he-will-throw-away nor of-soldier
θάνατον ἀποθανεῖται, ἀλλὰ στρατηγοῦ λελογισμένου, καὶ
death he-will-die but of-general having-calculated and
πολλὰ τρόπαια στήσαντος.
many trophies having-set-up
23 Τὰς στρατιωτικὰς ἀσκήσεις καὶ πολέμων σκιὰς εἰρήνης
the military exercises and of-wars shadows of-peace
καιρῷ συχνάζειν δεῖ, καὶ τῶν στρατιωτῶν τοὺς
in-time to-practice-often it-is-needful and of-the soldiers the
γέροντας τιμᾶν.
old(-ones) to-honor
Εἰρηνεύων δὲ, ἀσκείτω τὸν πόλεμον, ἑαυτὸν μὲν
being-at-peace and let-him-practice the war himself indeed
ἐκπονῶν ἑκάστοτε πρὸς πᾶν εἶδος πολέμου, καὶ
working-hard each-time for every form of-war and
μηδὲν τούτων ἀπαναινόμενος, συγγυμνάζων δὲ καὶ
nothing of-these refusing training-together and also
στρατιώτας ὁμοῦ καὶ ξύμπαντας, διδασκάλους δὲ
soldiers together and all teachers and

καὶ θεατὰς τῶν γυμνασίων ποιούμενος ὅσον
also spectators of-the exercises making as-many-as
γεροντικὸν καὶ ἀπόμαχον. Ἡ πολιὰ γὰρ Ἔχει
old and past-fighting the gray-head for has
τι λέξαι τῶν νέων σοφώτερον. Γέρων δὲ
something to-say than-the young wiser old and
ἀνὴρ, καὶ νέος, ἕτερος. Ὁ μέν ἐστι νοῦς, ὁ
man and young another the(-one) indeed is mind the
γέρων· ὁ δὲ, χείρ· θάτερος θατέρου δεόμενος.
old(-man) the(-other) and hand the-one of-the-other needing
Ὡς οὐδὲν οὕτω τὰ τῶν Ῥωμαίων διέφθειρεν,
as nothing so the(-things) of-the Romans has-ruined
ὡς τὸ μηδένα εἶναι ἐπὶ τῶν πραγμάτων στιβαρὸν
as the no-one to-be in the affairs sturdy
γέροντα, ῥυτιδωθέντα μὲν τῷ χρόνῳ τὸ ἔλυτρον,
old(-man) wrinkled indeed by-the time the husk
τὸν δὲ καρπὸν ἔνδοθεν τελειώσαντα, καθάπερ τὸ
the and fruit within having-perfected just-as the
κάρυον.
walnut
Ὑγιὴς τῷ βασιλεῖ τοῦ σώματος ἡ ἄσκησις. 24
healthy for-the emperor of-the body the exercise
Καὶ τοῦτον ἐχέτω νόμον ὁ βασιλεὺς, τὸ μήποτε
and this let-have law the emperor the never
ἀνιδρωτὶ σῖτον αἱρεῖσθαι. Ἐκ ταύτης γὰρ τῆς
without-sweat food to-take from this for the
ἀσκήσεως τό τε σῶμα αὐτοῦ ὑγιεινότερον ἔσται
exercise the both body his healthier will-be
καὶ ἀπεριττότατον· καὶ τὸ λογικὸν οὐκ ἐμποδισθήσεται
and freest-of-superfluity and the rational(-part) not will-be-hindered

πολλοῖς ἐπιχωννύμενον τοῖς περιττώμασι. Τίς οὖν τοιούτῳ
by-many being-heaped-over the residues who then to-such
πολέμιος αὐτοκράτορι;
enemy autocrator
Τοῖς θυμελικοῖς καὶ γελωτοποιοῖς προσέχειν, τῷ βασιλεῖ
to-the stage-players and jesters to-attend for-the emperor
ἄπρεπον· μᾶλλον δὲ πρέπον τοῖς φρονίμοις συμβιοῦν,
unfitting rather and fitting with-the prudent to-live
καὶ τοῖς πεπαιδευμένοις συνομιλεῖν.
and with-the educated to-converse
Πῶς δὲ σχολάσει μίμοις καὶ γελωτοποιοῖς ὁ τοιοῦτος;
how and will-have-leisure for-mimes and jesters the such(-man)
ἢ πῶς οὐ πάντας πρὸς εὔνοιαν ἐπισπάσεται, ὑπὲρ
or how not all to goodwill will-draw for
αὐτῶν ὁρῶντας φροντίζοντά τε καὶ γυμναζόμενον; Ἐπεὶ
them seeing (him)-taking-thought both and exercising since
τοὐναντίον, εἰ τοῖς μὲν σκηνικοῖς καὶ τοῖς ἀσελγέσιν
the-contrary if to-the indeed stage(-men) and to-the licentious
ἀνοίγονται τὰ βασίλεια, καὶ τοὺς ἀξίους βαράθρων
are-opened the palace and the(-ones) worthy of-pits
ὑποδέχονται τὰ ἀνάκτορα, συνασχημονήσοντας τῷ τῆς
receives the residence to-share-the-disgrace with-the of-the
οἰκουμένης δεσπότῃ, καὶ βωμολόχους συμφθεγξομένους,
inhabited-world master and buffoons to-join-in-the-chorus
καὶ διφροῦντας τὸ λογιζόμενον· τοῖς δὲ καὶ βασιλεύειν
and driving-out the reasoning(-part) to-the(-ones) and even to-reign
ἀξίοις, καὶ τὴν πρώτην πύλην κατὰ τῶν προσώπων
worthy also the first gate against the faces
οἱ πυλωροὶ ἐντινάσσουσι· καὶ ὁ μὲν τιμηθήσεται, ὃς
the doorkeepers dash and he indeed will-be-honored who
ψιττακὸν ὑπεκρίνατο, καὶ ὡς ἀηδὼν ἐτερέτισεν· οἱ
parrot played and as nightingale trilled the(-ones)

δὲ ἀνθρώπινα λέγοντες, μᾶλλον δὲ θεῖα φθεγγόμενοι,
and human(-things) saying rather and divine(-things) uttering
περιελεύσονται ἄτιμοι, αὐτοὶ μὲν παρ᾽ οὐδὲν τρεφόμενοι,
will-go-about dishonored themselves indeed for nothing being-fed
παχεῖς δὲ τοὺς φθεῖρας τοῦ σώματος ἀποτρέφοντες, καὶ
fat and the lice of-the body rearing and
ὕβρεως μὲν ἆθλα καὶ ἀσχημοσύνης προκείσονται, ἀρετὴ
of-insolence indeed prizes and of-shamelessness will-be-set-out virtue
δὲ μάταιον χρῆμα καταλειφθήσεται, αὐχμοῦ καὶ εὐρῶτος
and vain thing will-be-left with-squalor and mold
ἀνάμεστος· πῶς οὖν ἕξειν οἴει τούτοις τὰ πράγματα;
full how then to-fare you-think for-these the affairs
Ἢ πᾶσι δῆλον, κἂν ἡμεῖς μὴ λέγωμεν.
or to-all clear even-if we not say
Τὸ φιλάνθρωπον τῷ βασιλεῖ χρήσιμον. 26
the humaneness for-the emperor useful
Ἡ φιλανθρωπία δὲ πόση τις ἔσται τοῦ αὐτοκράτορος;
the humaneness and how-great — will-be of-the autocrator
Ὅση Θεῷ πρὸς ἀνθρώπους. Οὐ γὰρ προηγουμένως
as-great-as to-God toward men not for primarily
τῷ ξίφει χρήσεται, ἀλλ᾽ ἀναγκαίως καὶ βιαζόμενος· Τὸν
the sword he-will-use but of-necessity and being-forced the
γὰρ ἄνω Βασιλέα μιμήσεται· εἰ δὲ μὴ τὸν Βασιλέα,
for above King he-will-imitate if and not the King
τὴν μέλισσαν αἰσχυνθήσεται, ἣν τῶν ἄλλων μελιττῶν
the bee he-will-be-ashamed-before which of-the other bees
μόνην ἡ φύσις παρήγαγεν ἄκεντρον. Ὅστις δὲ ῥᾳδίως
alone the nature brought-forth stingless who-ever and easily
ἀπογυμνοῖ τὸ ξίφος, οὗτος οὐ βασιλεὺς, ἀλλὰ δήμιος·
bares the sword this-one not emperor but executioner

οὐδὲ Θεὸν ἔχων ἀρχέτυπον, οὐδὲ πρὸς ἐκεῖνον τυπούμενος,
nor God having archetype nor toward him being-shaped
ἀλλὰ δαίμονας ἀλάστορας ἀνθρώπων τρεφομένους αἵμασι.
but demons avengers of-men fed on-bloods
27 Εἰς ὅσον ξίφει καὶ βασάνοις χρῆσθαι καθῆκον τῷ βασιλεῖ.
to what-extent sword and tortures to-use is-fitting for-the emperor
Καὶ οὐκ ἀμβλύνω τὸ ξίφος παντάπασι, μή τις ἐπιφυέσθω
and not I-blunt the sword altogether not anyone let-fasten-on
τῷ λόγῳ, μηδέ μου σπαραττέτω τὰ ῥήματα. Οἶδα γὰρ,
the word nor my let-him-tear the words I-know for
ὦ κράτιστε βασιλεῦ, ὅτι τὰ κόκκινά σοι ὑποδήματα καὶ
O most-mighty emperor that the scarlet your shoes and
ἐνδύματα, τοῦ πυρός εἰσι σύμβολα. Τοῦ δὲ πυρὸς διπλῆ
garments of-the fire are symbols of-the and fire twofold
τις ἡ δύναμις, φωτιστική τε καὶ καυστική· ὅπερ ἐστὶν
some the power illuminating both and burning which is
εἰπεῖν, ἐνεργητική τε καὶ τιμωρητική. Χρῶ τοίνυν ταῖς
to-say active both and punitive use therefore the
τιμωρίαις, ἀλλ' ἐπ' ἐλάχιστον. Φώτιζε μὲν συνεχέστερον.
punishments but to least illuminate indeed more-continually
κατάκαιε δὲ ἀργότερον. Τοῦτο καὶ ἡ λαμπὰς ἡ
burn and more-slowly this also the torch the(-one)
προπορευομένη τοῦ αὐτοκράτορος βούλεται, ᾗ πρὸς
going-before the autocrator means which for
τὸ φωτίζειν μόνον, ἀλλ' οὐχὶ καὶ πρὸς τὸ καίειν
the to-illuminate only but not also for the to-burn
προσκέχρηται. Λάμπε τοίνυν καὶ σὺ τοῖς ἀγαθουργήμασιν.
is-used shine therefore also you with-the good-deeds

Ἀρετῇ καὶ σοφίᾳ τοῖς ὑποκειμένοις ὑπερέχειν τῷ βασιλεῖ 28
in-virtue and in-wisdom the subjects to-surpass for-the emperor
μελήσεται.
will-be-a-care
Ἐπὶ πᾶσι, τοῦτό μοι παραφύλαττε. Φημὶ γὰρ τὸν
above all this for-me keep-watch I-say for the(-one)
ἄρξειν ἀνθρώπων μέλλοντα, δεῖν εἶναι τὴν ἀρετὴν
to-rule men being-about must be the virtue
ὑπὲρ ἄνθρωπον. Ὡς γὰρ ὁ τῶν προβάτων ἄρχων,
beyond man as for the of-the sheep ruler
οὐ πρόβατον, ἀλλ' ἄνθρωπος δήπουθεν· καὶ ὁ τῶν
not sheep but man surely and the of-the
βοῶν, οὐ βοῦς, ἀλλὰ λογικὸς ἐπιστάτης, καὶ τῶν
oxen not ox but rational overseer and than-the(-ones)
ἀγομένων μακρῷ τὴν φύσιν ὑπέρτερος· οὕτως ἄρα
being-led by-far the nature superior thus then
καὶ τὸν ἄρχοντα τῶν ἀνθρώπων ὑπερκεῖσθαι δεῖ
also the ruler of-the men to-be-above must
τοσοῦτον, ὅσον προβάτων ποιμὴν, καὶ βοῶν ὁ
as-much as of-sheep shepherd and of-oxen the
βουκόλος.
cowherd
Ταύτης τῆς πραγματείας συμπέρασμα, καὶ ὁμοίας ἄλλης 29
of-this the treatise conclusion and of-like other
ἐπάγγελμα.
promise
Οὐ καταβαρυνῶ σε τῇ πλησμονῇ τῇ τῆς παραινέσεως,
not I-will-weigh-down you with-the satiety the of-the exhortation
ἀλλὰ τάχα καὶ εἰς ἑτέραν ταμιεύσομαι τράπεζαν· καὶ
but perhaps also for another I-will-store-up table and
Θεοῦ διδόντος παρασκευάσω σοι τὰ λειπόμενα,
God giving I-will-prepare for-you the(-things) remaining

μόνον ἴδοιμί σε ταῦτα μετ᾽ ὀρέξεως προσηκάμενον, καὶ
only may-I-see you these(-things) with appetite having-accepted and
πέψαντα τὰ βρωθέντα, καὶ πρὸς τὴν πνευματικὴν
having-digested the(-things) eaten and toward the spiritual
ἡλικίαν ἀπολαύσαντα.
stature having-profited

30 Ὁ Θεὸς Κωνσταντίνῳ βοηθὸς ἐπαγγέλλεται, ἐὰν τῇ
— *God to-Constantine helper is-promised if the*
παρούσῃ παραινέσει, καὶ ταῖς τῆς μητρὸς ἐντολαῖς
present exhortation and the of-the mother commands
πειθαρχεῖν θελήσῃ.
to-obey he-wishes

Λόγοι τιμῶσί σε, τίμα καὶ σὺ τοὺς λόγους, καὶ τῇ ὁσίᾳ
words honor you honor also you the words and to-the holy
σου μητέρι καταπειθὴς ἔστω εἰσαεί. Τοῖς γὰρ ταύτης
your mother obedient be forever by-the for her
χαλινοῖς ὑπαγόμενος, Θεὸν ἕξεις ἀεὶ καὶ τῶν ἔργων
reins being-led God you-will-have always both of-the works
συμπράκτορα, καὶ τῆς βασιλείας συλλήπτορα. Πάντως
fellow-worker and of-the kingship helper surely
δέ σοι τοῦτο δώσει μητέρος ἀρετὴ καὶ εὐλογία, ἐπὶ
and to-you this will-give of-mother virtue and blessing upon
κεφαλῆς καταβαίνουσα, καὶ τὸν οἶκον τόν τε βασιλικὸν
head coming-down and the house the both royal
καὶ τὸν ψυχικόν σοι στηρίζουσα.
and the of-the-soul for-you establishing